Πρὸ ἡμερῶν ἱκανῶν ἔλαβον παρὰ τοῦ ἱεροδιακόνου Αὐξεντίου τὸ ἱερόν της καὶ ἐχάρην λίαν διά τε τὸν προβιβασμὸν αὐτῆς ἐπὶ τὸ τῆς ἱερωσύνης θεῖον ὄντως ἀξίωμα καὶ ἐπὶ τὴν ἐπισκοπὴν Λητζᾶ καὶ διὰ τὴν ἐφετήν μοι ὑγείαν της. Ὅθεν παρακαλῶ τὸν ἅγιον Θεὸν νὰ χαρίσῃ αὐτῇ ὑγείαν πολυχρόνιον καὶ νὰ τὴν ἐνισχύσῃ καὶ νὰ τὴν ἐνδυναμώσῃ εἰς τὸ νὰ ποιμάνῃ θεαρέστως τὸ ὅπερ ἐνεπιστεύθη παρὰ Θεοῦ λογικὸν ποίμνιον καὶ νὰ κυβερνήσῃ ἐντίμως αὐτὴν τὴν ἐπαρχίαν καὶ νὰ τὴν καταξιώσῃ καὶ εἰς μεγαλητέραν καὶ καλλιτέραν καθὼς ἀγαπῶμεν. Ὁ παπᾶ πνευματικὸς πατὴρ κὺρ Διονύσιος εἶχε λάβει ἄδειαν παρὰ τοῦ πρὸ αὐτῆς διὰ νὰ ἔλθῃ ἐδῶ εἰς Κωνσταντινούπολιν καὶ νὰ κάμῃ Σταυροπήγιον διὰ Σιγιλλιώδους Γράμματος, τὸ ὅπερ οἰκοδομεῖ μονύδριον εἰς τὰ αὐτόθι,τῆς Ζωοδόχου Πηγῆς. Ἀναχωρήσας(57) λοιπὸν τότε αὐτόθεν ἐπῆγεν εἰς τὸ Ἅγιον Ὄρος καὶ ἐκεῖ διέτριψε καὶ ἀργοπόρησεν ἱκανὸν καιρόν, ὡς τόσον ἀκολούθησε νὰ λάβῃ τὴν ἐπαρχίαν Λητζᾶ ἡ Θεοφιλία της. Αὐτὸς ὅμως ὁ ἱερὸς γέρων μὴν ἠξεύροντας ἦλθε κατ' εὐθεῖαν ἐνταῦθα καὶ ἔτσι ὁ παναγιώτατος Δεσπότης, οἱ ἅγιοι ἀρχιερεῖς καὶ ὑψηλότατοι αὐθένται καὶ σχεδὸν ὅλοι οἱ ἄρχοντες, εὐλαβηθέντες τὸ σεβάσμιον καὶ ἐνάρετον τοῦ ἀνδρός, συγκατέβησαν καὶ ἔλαβε παρὰ τοῦ παναγιωτάτου Δεσπότου τὸ Σιγίλλιον. Συστελλόμενος ὅμως ὁ εὐλογημένος μήπως καὶ κακοκαρδίσῃ ἡ θεοφιλία της διατὶ δὲν ἦλθε νὰ λάβῃ ἐξ αὐτῆς ἄδειαν καὶ Γράμματα καὶ γνωρίζοντας καὶ μαθὼν πῶς εἶμαι ἐδικός της, μ' ἐπαρακάλεσε νὰ γράψω τῇ θεοφιλίᾳ της πρὸς τούτου. Ὅθεν κἀγὼ μὲ τὸ φιλικὸν θάρρος δὲν ἔλειψα νὰ γράψω αὐτῇ περὶ τούτου καὶ νὰ τὴν παρακαλέσω ὅτι ὄχι μονάχα νὰ μὴν τῆς κακοφανῇ, ἀλλὰ καὶ νὰ τὸν ὑπερασπίζεται καὶ νὰ τὸν ἀγαπᾷ ὡς σεβάσμιον καὶ ἐνάρετον γέροντα, καθὼς περὶ τούτου γράφουσιν αὐτῇ καὶ ὁ παναγιώτατος Δεσπότης καὶ ἄλλοι καὶ ἐπειδὴ ἡμεῖς τοῦ ὑποσχεθήκαμεν τὴν ὑπὲρ αὐτῆς ἀγάπην καὶ ὑπεράσπισιν, παρακαλοῦμεν νὰ τὸ δείξῃ ἐμπράκτως καὶ νὰ καταλάβῃ ἡ πανοσιότης

του πῶς σᾶς ἐγράψαμεν καὶ σᾶς ἐπαρακαλέσαμεν περὶ τούτου καὶ μένω κἀγὼ εἰς τοὺς ὁρισμούς της πρόθυμος.

Ἂς ἔχω δὲ καὶ ἱλαρὸν Γράμμα αὐτῆς, ἧς καὶ τὰ ἔτη θεόθεν πανευτυχῆ καὶ αἱ σεβάσμιαι αὐτῆς εὐχαὶ μετ' ἐμοῦ.

͵αψμ'. Σεπτεμβρίου ε'.

Εἰς τοὺς ὁρισμούς της πρόθυμος Λαμπαδάριος τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, Δανιήλ.

ΓΡΑΜΜΑ ΠΑΤΡΙΑΡΧΙΚΟΝ, ΧΑΡΙΝ ΕΛΕΟΥΣ ΚΑΙ ΒΟΗΘΕΙΑΣ, ΔΟΘΕΝ ΥΠΕΡ ΤΟΥ ΙΕΡΟΥ ΤΟΥΤΟΥ ΜΟΝΥΔΡΙΟΥ

ΠΑΪΣΙΟΣ

ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης

Οἱ τῷ καθ' ἡμᾶς Πατριαρχικῷ καὶ Οἰκουμενικῷ θρόνῳ ὑποκείμενοι ἱερώτατοι μητροπολῖται καὶ ὑπέρτιμοι θεοφιλέστατοι ἀρχιεπίσκοποί τε καὶ ἐπίσκοποι, ἐν Ἁγίῳ Πνεύματι ἀγαπητοὶ ἀδελφοὶ καὶ συλλειτουργοί, ἐντιμότατοι κληρικοὶ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ ἑκάστης ἐπαρχίας, εὐλαβέστατοι ἱερεῖς, ὁσιώτατοι ἱερομόναχοι, εὐγενέστατοι ἄρχοντες, χρήσιμοι πραγματευταὶ καὶ καραβοκύριοι, ἐπίτροποί τε τῶν ἐκκλησιῶν καὶ πρωτομαΐστορες τῶν ρουφετίων καὶ λοιποὶ πάντες εὐλογημένοι χριστιανοί, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετρι-(58)ότητος, χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ καὶ παρ' ἡμῶν εὐχή, εὐλογία καὶ συγχώρησις.

Ὁ φιλάνθρωπος Ἰησοῦς ἐν τῷ ἱερῷ αὐτοῦ εὐαγγελίῳ πλείους ὁδοὺς σωτηρίας ἡμῖν ὑποθέμενος, ὠφελιμωτέραν τῶν λοιπῶν καὶ συντομωτέραν τὴν τῆς ἐλεημοσύνης ὑπέδειξε, δι' ἧς ἀκόπως οἱ ἄνθρωποι ἐν τῇ τῶν οὐρανίων ἀγαθῶν ἀπολαύσει γενήσονται, ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ τῇ καρδίᾳ ἀνθρώπου οὐκ ἀνέβη, κατὰ τὸ ἀποστολικὸν λόγιον. Ἡ οὖν πρόξενος τῶν τοιούτων καὶ τοσούτων ἀγαθῶν ἐλεημοσύνη καὶ ἁπλῶς μὲν γενομένη πρὸς τοὺς ἐνδεεῖς καὶ χρήζοντας, ὠφέλιμος καθέστηκε καὶ ψυχοσωτήριος, ἐξαιρέτως μέντοι ὠφέλειαν οὐ τὴν τυχοῦσαν ἐμποιεῖ ὅταν εἰς θείων σκηνωμάτων καὶ ἱερῶν καταγωγίων ἀνέγερσιν διενεργεῖται καὶ δαψιλῶς χορηγεῖται, ἐν οἷς ἀκαταπαύστως ὑμνεῖται καὶ δοξάζεται ὁ Θεὸς καὶ ἄσκησις βίου θεοφιλοῦς πολιτεύεται, μυστικαί τε λατρεῖαι καὶ ἀναίμακτοι θυσίαι τῷ Κυρίῳ προσφέρονται ὑπὲρ ὑγείας καὶ ἀφέσεως ἁμαρτιῶν πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν καὶ μάλιστα τῶν ἐλεούντων.

Τοιγαροῦν γνωστὸν ἔστω καὶ πᾶσιν ὑμῖν, ὡς ὁ παρὼν ἐπιφέρων ὁσιώτατος ἐν Ἱερομονάχοις καὶ πνευματικοῖς πατράσι κὺρ

Διονύσιος, ζήλῳ θείῳ κινούμενος, σκοπὸν ἔθετο θεάρεστον καὶ ἐπεχειρίσθη ἀνεγεῖραι καὶ ἀνοικοδομῆσαι κατὰ τὴν ἐπισκοπὴν Λητζᾶ καὶ Ἀγράφων, εἰς τοποθεσίαν τοῦ Φουρνᾶ λεγομένην, ἱερὸν μονύδριον, ἐπ' ὀνόματι τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου τῆς Ζωοδόχου Πηγῆς, ὅπερ μονύδριον προλαβόντως προσηλώσας τῇ καθ' ἡμᾶς Ἁγίᾳ τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ, Σταυροπηγιακῇ τε ἀξίᾳ καὶ ἐλευθερίᾳ ἐτίμησε διὰ τῶν προεκδοθέντων πατριαρχικῶν καὶ συνοδικῶν Σιγιλλίων Γραμμάτων, ὅστις ἀρξάμενος μὲν τῆς οἰκοδομῆς μὴ ἔχων δὲ ἀρκοῦντα τὰ ἐπακολουθήσοντα ἔξοδα, ἔγνω προσδραμεῖν εἰς τὰ φιλοικτίρμονα ὑμῶν τῶν φιλελεημόνων χριστιανῶν σπλάγχνα, μετὰ τοῦ συνοδοιπόρου αὐτοῦ Πέτρου ἱεροδιακόνου. Ἀποδεξάμενοι τοίνυν αὐτοὺς ἱλέως καὶ εὐμενῶς, συνδράμετε καὶ βοηθήσατε αὐτοῖς λόγῳ καὶ ἔργῳ καὶ ἐλεημοσύνην αὐτοῖς ἐπίδοτε πλουσίᾳ χειρί, ὁ μὲν δηλαδὴ σαρανταλείτουργον, ὁ δὲ πρόθεσιν, ὁ δὲ σαραντάριον, ὁ δὲ ἀδελφᾶτον καὶ ἄλλος ἄλλο, πολὺ ἢ ὀλίγον. Ἵνα διὰ τῆς θεαρέστου ὑμῶν (59) ἐλεημοσύνης, ἡ μὲν οἰκοδομὴ αὕτη ἀπαρτισθῇ καὶ τελειωθῇ, ὑμεῖς δὲ ἕξητε τοὺς μισθοὺς παρὰ Θεοῦ, οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος καὶ ἡ παρ' ἡμῶν εὐχὴ καὶ εὐλογία εἴη ὑμῖν. Ὦ τινι ἱερομονάχῳ καὶ πνευματικῷ πατρὶ κὺρ Διονυσίῳ δεδώκαμεν ἄδειαν ἐπιτραχήλιον φέρειν, ἁγιασμοὺς ποιεῖν καὶ πάντα τὰ ἱερατικὰ ἐκτελεῖν καὶ τοὺς λόγους δέχεσθαι τῶν προσιόντων, εἰδήσει τῶν κατὰ τόπον προϊσταμένων.

αψμα'. ἐν μηνὶ Αὐγούστῳ, ἰνδικτιῶνος δ'.

ΓΡΑΜΜΑ ΠΑΤΡΙΑΡΧΙΚΟΝ ΑΠΕΙΛΗΤΙΚΟΝ ΚΑΙ ΑΦΟΡΙΣΤΙΚΟΝ ΚΑΤΑ ΤΩΝ ΕΠΙΒΛΑΒΩΣ ΦΕΡΟΜΕΝΩΝ ΕΠΙ ΤΟ ΙΕΡΟΝ ΤΟΥΤΟ ΜΟΝΥΔΡΙΟΝ

Π Α Ϊ Σ Ι Ο Σ

ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜ. ΠΑΤΡΙΑΡΧΗΣ

Θεοφιλέστατε ἐπίσκοπε Λητζᾶ καὶ Ἀγράφων, ἐν Ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ καὶ εὐλαβέστατοι ἱερεῖς καὶ χρήσιμοι γέροντες τοῦ χωρίου Φουρνᾶ, χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ.

Οἱ ἐνταῦθα ἐν Κωνσταντινουπόλει εὑρισκόμενοι συνεγχώριοι Χριστιανοὶ ἀνέφερον ἡμῖν ὅτι τινες τῶν αὐτόθι χριστιανῶν, ἀνευλαβεῖς καὶ κακότροποι, ἐνοχλοῦσι καὶ ἐπηρεάζουσι ποικιλοτρόπως τὸν ὁσιώτατον ἐν ἱερομονάχοις καὶ πνευματικοῖς πατράσι κὺρ Διονύσιον, τὸν κτίτορα δηλαδὴ τοῦ αὐτόθι ἱεροῦ μονυδρίου τῆς ὑπεραγίας ἡμῶν Θεοτόκου τῆς Ζωοδόχου Πηγῆς καὶ ἐμποδίζουσι καὶ ἀποκόπτουσι τὰ διωρισμένα εἰσοδήματα τοῦ μονυδρίου τούτου καὶ παραβαίνουσι καὶ ἀθετοῦσι τὰ διορισθέντα προνόμια καὶ ποικιλοτρόπως προξενοῦσι βλάβην καὶ ζημίαν τῷ αὐτῷ μονυδρίῳ. Ὅθεν κατὰ τῶν τοιούτων ἐπιζημίων ἐζήτησαν κοινῶς τὸ παρὸν ἐκκλησιαστικὸν ἐπιτίμιον. Τούτου χάριν γράφοντες, εἰ οὕτως ἔχει, ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τῶν ἐν Ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν. Ἵνα ὅσοι καὶ ὁποῖοι τῶν αὐτόθι ἐγχωρίων χριστιανῶν, χωρὶς εἰδήσεως καὶ γνώμης τοῦ διαληφθέντος κτίτορος ἐν ἱερομονάχοις κὺρ Διονυσίου καὶ τῶν προκρίτων γερόντων τῆς χώρας, τολμήσωσιν εἰσελθεῖν ἐν τῷ ῥηθέντι μονυδρίῳ καὶ μονάσαι ἐκεῖ, ἢ χωρὶς εἰδήσεως αὐτῶν θελήσωσιν εἰσαγαγεῖν ἢ καλόγηρον ἐν τῷ μονυδρίῳ, ἢ καλογραίας ἐν τῷ ἤδη οἰκοδομηθέντι Παρθενῶνι, ἢ ἐμποδίσωσι καὶ ἀποκόψωσι τὰ διορισθέντα καὶ ἀποφανθέντα ἐκ μέρους τῆς χώρας δίδοσθαι ὀλιγάριθμα ἄσπρα παρὰ τῶν νεωστὶ εἰσερχομένων ἐν τῷ Παρθενῶνι καλογραιῶν, ἢ τολμήσωσιν ἀποσπάσαι (60) τι τῶν ἀφιερωμάτων τοῦ μονυδρίου τούτου, ἢ ὅλως βλάβην τινα καὶ ζημίαν τῷ μονυδρίῳ τούτῳ ἐμποιῆσαι, οἱ τοιοῦτοι ἐὰν μὴ παύσωνται τῆς κακοτροπίας αὐτῶν καὶ οὐ διορθώσωσι τὸ σφάλμα αὐτῶν, ἀλλ' ἀθετήσωσι τοὺς ὅρους καὶ τὰ προνόμια τοῦ μονυδρίου τούτου, ἢ ἀταξίας τινας ποιήσωσιν ἐν αὐτῷ, ἢ ἐνόχλησιν τινα προξενήσωσιν, ἢ τῷ ῥηθέντι ἱερομονάχῳ κὺρ Διονυσίῳ, ἢ τῷ ὑπ' αὐτοῦ οἰκοδομηθέντι μονυδρίῳ, οἱ τοιοῦτοι ἄνδρες ὄντες ἢ γυναῖκες, μικροὶ ἢ μεγάλοι ὁποίας τάξεως καὶ ὁποίου βαθμοῦ, ὡς ἐπιβλαβεῖς καὶ ἐπιζήμιοι, ἀφωρισμένοι εἴησαν ἀπὸ Θεοῦ Κυρίου Παντοκράτορος καὶ κατηραμένοι καὶ ἀσυγχώρητοι καὶ μετὰ θάνατον ἄλυτοι, αἱ πέτραι καὶ ὁ σίδηρος λυθήσονται αὐτοὶ δὲ οὐδαμῶς, κληρονομήσειαν τὴν λέπραν τοῦ Γιεζῆ καὶ τὴν ἀγχόνην τοῦ Ἰούδα καὶ εἴησαν στένοντες καὶ τρέμοντες ἐπὶ γῆς ὡς ὁ Κάϊν καὶ προκοπὴν οὐ μὴ ἴδοιεν, ἔχοντες καὶ τὰς ἀρὰς τῶν Ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων Πατέρων τῶν ἐν Νικαίᾳ καὶ τῶν λοιπῶν Ἁγίων Συνόδων. Προφανῶς δὲ ἐλεγχόμενοι οἱ τοιοῦτοι ὑπάρχουσι καὶ ἔξω τῆς Χριστοῦ Ἐκκλησίας, μηδεὶς ἐκκλησιάσῃ αὐτούς, ἢ ἁγιάσῃ, ἢ θυμιάσῃ, ἢ ἀντίδωρον αὐτοῖς δῷ, ἢ συμφάγῃ, ἢ συμπίῃ, ἢ συναναστραφῇ, ἢ μετὰ θάνατον θάψῃ, ἐν ἀργίᾳ ἕως οὗ παύσονται τῆς κακοτροπίας αὐτῶν.

Ἐν Μηνὶ Μαΐῳ Ἰνδικτιῶνος ε'. (ἔτος προφανῶς τὸ 1742).

Ὁ Νικαίας Καλλίνικος, ὁ Τυρνάβου Ἄνθιμος, ὁ Παλαιῶν Πατρῶν Γεράσιμος, ὁ Λαρίσης Ἰάκωβος, ὁ Λητζᾶ καὶ Ἀγράφων Κωνστάντιος.

ΕΠΙΣΤΟΛΗ ΠΑΤΡΙΑΡΧΙΚΗ ΠΡΟΣ ΤΟΝ ΙΩΑΝΝΑΚΗΝ ΚΩΝΣΤΑΝΤΙΔΗΝ ΚΑΙ ΤΟΥΣ ΑΥΤΟΥ ΑΥΤΑΔΕΛΦΟΥΣ, ΠΡΟΤΡΕΠΤΙΚΗ ΤΟΥ ΕΠΙΣΤΑΤΕΙΝ ΤΟ ΘΕΙΟΝ ΤΟΥΤΟ ΜΟΝΥΔΡΙΟΝ

ΠΑΪΣΙΟΣ
ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜ. ΠΑΤΡΙΑΡΧΗΣ

Χρήσιμε ἐν γέρουσι καὶ προεστῶσι τοῦ κλίματος τῶν 'Αγράφων κὺρ Γιαννάκη Κωνσταντόπουλε, τέκνον ἐν Κυρίῳ ἀγαπητὸν τῆς ἡμῶν μετριότητος, χάρις εἴη σοὶ καὶ εἰρήνη ἀπὸ Θεοῦ.

Γίνωσκε ὡς, οἱ Χριστιανοὶ τοῦ χωρίου Φουρνᾶ, μὴ ἔχοντες ὑπερασπιστὴν καὶ δεφενδάτορα τῆς χώρας αὐτῶν καὶ μάλιστα τοῦ ἤδη κτισθέντος καὶ οἰκοδομηθέντος ὑπὸ τοῦ ὁσιωτάτου ἐν ἱερομονάχοις καὶ πνευματικοῖς πατράσι κὺρ Διονυσίου, ἱεροῦ μονυδρίου τῆς ὑπεραγίας ἡμῶν (61) Θεοτόκου τῆς Ζωοδόχου Πηγῆς, προσελθόντες δὲ πρὸς ἡμᾶς ἐδεήθησαν ὅπως γράψωμεν καὶ παρακινήσωμεν, τήν τε χρησιμότητά σου καὶ τοὺς λοιποὺς αὐταδέλφους σου, *διὰ νὰ ἐπισκέπτεσθε* καὶ νὰ προνοεῖσθε καὶ νὰ ὑπερασπίζεσθε παντὶ τρόπῳ τόν τε εἰρημένον κὺρ Διονύσιον καὶ τὸ ἱερὸν μονύδριον καὶ τοὺς λοιποὺς ἐγχωρίους χριστιανοὺς καὶ νὰ εἶσθε ἐπιτηρητὴς καὶ προστάτης, καθὼς ὑπῆρχε ποτὲ ἔτι ζῶν ὁ μακαρίτης ὑμῶν. Τούτου χάριν τὴν δέησιν αὐτῶν ἀποδεξάμενοι, γράφοντες διὰ τοῦ παρόντος, *εὐχόμεθα καὶ εὐλογοῦμέν σε* πατριαρχικῶς ὁμοῦ μετὰ τῶν συναδέλφων σου καὶ νουθετοῦμεν καὶ συμβουλεύομεν καὶ σᾶς παρακινοῦμεν πατρικῶς ὅπως ἀπὸ τοῦ νῦν καὶ ἑξῆς ἐπισκέπτεσθε καὶ ὑπερασπίζεσθε τόν τε κὺρ Διονύσιον πνευματικὸν καὶ τὸ ὑπ' αὐτοῦ οἰκοδομημένον μονύδριον καὶ τοὺς λοιποὺς ἐγχωρίους χριστιανούς, συντρέχοντες καὶ βοηθοῦντες *εἰς πᾶσαν* αὐτῶν χρείαν καὶ ὑπόθεσιν καὶ φροντίζοντες ὑπὲρ τῆς συστάσεως καὶ ἐπιδόσεως καὶ αὐξήσεως τοῦ αὐτοῦ μονυδρίου καὶ ἔξοιτε τοὺς μισθοὺς πολλαπλασίους παρὰ Θεοῦ, οὗ ἡ χάρις καὶ ἡ εὐχὴ καὶ εὐλογία ἡμῶν εἴη ὑμῖν.

αψμβ΄. Μαΐου ι΄

Ὁ Κωνσταντινουπόλεως καὶ ἐν Χριστῷ εὐχέτης Παΐσιος.

Η ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΤΗΣ ΠΗΓΗΣ ΑΓΙΑΣΜΑΤΟΣ

Πέρας ἤδη, κατὰ τὸ αψμγ΄ κατὰ μῆνα Μάϊον, τοῦ θειοτάτου Ναοῦ λαβόντος καὶ πάντα τὰ πρὸς ἀπαρτισμὸν τῶν ἐγκαινίων τούτου, χάριτι τῆς Ζωοδόχου Πηγῆς, καλῶς ἑτοιμασθέντα ἐφόδια, ὁ κατὰ τόπον ἐπίσκοπος προσκαλεῖται.

Μετὰ γοῦν τὴν ἐνδιάτακτον τῶν ἐγκαινίων ἀκολουθίαν καὶ τὴν μυσταγωγίαν καὶ τὴν ὀπισθάμβωνον εὐχήν, προσέρχεται μετὰ τοῦ κλήρου τῇ τοῦ 'Αγιάσματος Πηγῇ, *ψάλλων* τροπάριον καὶ κοντάκιον τῆς Ζωοδόχου Πηγῆς, φέρων ἀνὰ χεῖρας καὶ βυτίον τι πλῆρες τοῦ ἐν τῇ Βασιλευούσῃ θείου αὐτῆς 'Αγιάσματος, καταλαβὼν δὲ τὴν Πηγὴν ἐγχέει ταύτῃ σταυροειδῶς λέγων. Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ 'Αγίου Πνεύματος. 'Αμήν. Καὶ τό *Μέγα τὸ ὄνομα τῆς 'Αγίας Τριάδος, Παναγία Θεοτόκε* βοήθει ἡμῖν. Ταῖς αὐτῆς ἁγίαις πρεσβείαις ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Εἶτα ἐκφωνεῖ τὴν παροῦσαν εὐχὴν πρὸς τὴν Θεοτόκον. (62) Κυρία ἡμῶν καὶ Δέσποινα Θεοτόκε, ἡ διὰ τὴν σωτηρίαν ἡμῶν τῶν ἁμαρτωλῶν ἀφράστως καὶ ὑπὲρ λόγον τὸν Λόγον κυήσασα τοῦ προανάρχου Πατρός, τὸ *Ὕδωρ τῆς αἰωνίου ζωῆς καὶ ἀθανασίας*, τὸν Κύριον ἡμῶν 'Ιησοῦν Χριστὸν καὶ Θεόν, ἡ χαριτόβρυτος καὶ ζῶσα Πηγή, ἡ ἐλπὶς πάντων ἡμῶν τῶν ἀπελπισμένων, ἡ τὴν ἐν Κωνσταντινουπόλει ἀνεγερθεῖσαν, παρὰ τοῦ εὐσεβοῦς καὶ πιστοῦ βασιλέως Λέοντος τοῦ Μακέλλου, Πηγὴν καὶ ἀφιερωθεῖσάν σοι διὰ τὴν πρὸς Σὲ αὐτοῦ εὐλάβειαν, ἀνωτέραν ὑπὲρ τὴν τοῦ Σιλωὰμ Κολυμβήθραν ἀναδείξασα, πρόσδεξαι καὶ ἡμῶν τῶν ἀναξίων τὴν δέησιν σήμερον καὶ κατάπεμψον τὴν θείαν χάριν καὶ εὐλογίαν Σου καὶ ἐπὶ τὴν Πηγὴν ἣν ἀνήγειρεν ἐπὶ τῷ σῷ ὀνόματι ὁ δοῦλος οὗτος Διονύσιος καὶ ποίησον τὸ ὕδωρ αὐτῆς 'Αγίασμα δόξης σου, ἵνα λαμβάνωσιν ἅπαντες, οἱ ἐν αὐτῷ προστρέχοντες μετὰ πίστεως, τὴν τῶν παθῶν αὐτῶν θεραπείαν καὶ ἴασιν. Ναί. Παναμώμητε καὶ Παντευλόγητε Δέσποινα, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων τῆς Σῆς ἀγαθότητος καὶ δόξασον καὶ ἐν αὐτῷ τὸ παντευλόγητον καὶ θεῖον σου ὄνομα, ὅτι εὐλογημένη καὶ δεδοξασμένη ὑπάρχεις εἰς τοὺς αἰῶνας. 'Αμήν.

Εἶτα. Μακαρίζομέν σε πᾶσαι αἱ γενεαί. Στραφεὶς δὲ ἐν τῷ ναῷ καὶ τὸ ἀντίδωρον διανείμας ποιεῖ ἀπόλυσιν.

ΓΡΑΜΜΑ ΤΟΥ ΛΗΤΖΑ ΚΑΙ ΑΓΡΑΦΩΝ ΧΑΡΙΝ ΕΛΕΟΥΣ ΚΑΙ ΒΟΗΘΕΙΑΣ ΔΟΘΕΝ ΜΕΤΑ ΤΟΝ ΕΓΚΑΙΝΙΑΣΜΟΝ ΤΟΥΤΟΥ ΤΟΥ ΜΟΝΥΔΡΙΟΥ

Οἱ ἐν τῇ ἡμετέρᾳ ἐπαρχίᾳ διατελοῦντες ἐντιμότατοι κληρικοί, εὐλαβέστατοι ἱερεῖς, χρήσιμοι πραγματευταί, πρωτομαΐστορες τῶν ρουφετίων καὶ λοιποὶ πάντες εὐλογημένοι χριστιανοὶ καὶ γέροντες τῶν ὑποκειμένων αὐτῇ χωρίων, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν ταπεινότητος, χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ καὶ παρ' ἡμῶν εὐχή, εὐλογία καὶ συγχώρησις.

Πᾶσαι μὲν αἱ ἀρεταὶ καὶ ἀγαθοεργίαι περισπούδαστοι εἶναι καὶ ἀρεσταὶ παρὰ Θεῷ, ὡς οἱ θεῖοι νόμοι διακελεύουσιν, ἀλλὰ πάντων ὑπερτερεῖ καὶ τὰ πρωτεῖα φέρει ἡ πρὸς τοὺς ἐνδεεῖς καὶ χρήζοντας γινομένη ἀντίληψις καὶ βοήθεια, ἐξαιρέτως δὲ αἱ πρὸς

τοὺς θείους ναοὺς καὶ ἱερὰ καταγώγια διδόμεναι ἐλεημοσύναι καὶ βοήθειαι, ἐν οἷς ἀκαταπαύστως ὑμνεῖται ὁ Ὕψιστος Κύριος καὶ ἄσκησις βίου θεοφιλοῦς πολιτεύεται καὶ μυστικαὶ τελοῦνται θυσίαι ὑπὲρ ὑγείας καὶ ἀ—(63) φέσεως ἁμαρτιῶν πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν καὶ μάλιστα τῶν ἐλεούντων. Τοιγαροῦν γνωστὸν ἔστω πᾶσιν ὑμῖν ὅτι τὸ θεῖον καὶ ἱερὸν μονύδριον τῆς ἐν τῇ κώμῃ Φουρνᾷ τῶν Ἀγράφων ἐν τῇ ἡμετέρᾳ ἐπαρχίᾳ ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου τῆς Ζωοδόχου Πηγῆς, τὸ κατὰ τοὺς παρόντας καιροὺς οἰκοδομημένον παρὰ τοῦ ὁσιωτάτου ἐν ἱερομονάχοις καὶ πνευματικοῖς πατράσι κυρίου Διονυσίου καὶ τῇ τοῦ χρόνου τούτου Κυριακῇ τῶν Ἁγίων Πάντων τῇ τοῦ Παναγίου πνεύματος χάριτί τε καὶ δωρεᾷ ἐγκαινιασθέντι διὰ τῆς ἡμῶν ταπεινότητος, χρήζει μεγάλης βοηθείας καὶ ἀντιλήψεως διὰ νὰ ἔλθῃ εἰς τελείαν κατάστασιν καὶ καλλωπισμόν, εἰς τὸ νὰ κατασταθῇ Σχολεῖον ἱερῶν Γραμμάτων καὶ Φροντιστήριον, κατὰ τὰ πατριαρχικὰ αὐτοῦ Γράμματα καὶ τὴν προσταγὴν τῆς ἁγιωτάτης Χριστοῦ καὶ Θεοῦ ἡμῶν Μεγάλης Ἐκκλησίας τῆς μητρός μας, δι' ἣν αἰτίαν καὶ ὁ ρηθεὶς πνευματικὸς πατὴρ κὺρ Διονύσιος ἔγνω καταφυγεῖν εἰς τὰ φιλελεήμονα σπλάγχνα ὑμῶν τῶν εὐσεβῶν χριστιανῶν χάριν ἐλέους καὶ βοηθείας.

Ὅθεν καὶ μεθ' ὧν ἐπιφέρει περὶ τῆς τοῦ ἱεροῦ μονυδρίου τούτου ἀνεγέρσεως καὶ συστάσεως Συνοδικῶν καὶ Πατριαρχικῶν Σιγιλλιωδῶν Γραμμάτων καὶ μεθ' οἱασδήποτε ἱεροπραξίας καὶ ἐνεργείας, ἣν ἐκτὸς ἔχει παρὰ τῆς Ἐκκλησίας, δεδώκαμεν αὐτῷ καὶ τὸ παρόν, εὐχόμενοι εὐλογοῦμεν τὴν ὑμετέραν ἀγάπην καὶ χρηστότητα ὅπως ὑποδεχθῆτε αὐτὸν ἅπαντες μετὰ τῆς συνοδείας αὐτοῦ εὐλαβῶς τε καὶ φιλοφρόνως καὶ συνδράμητε καὶ βοηθήσετε ἔργῳ τε καὶ λόγῳ καὶ ἐλεημοσύνην ἀφθονοπαρόχως ἐπιδώσητε ἐξ ἀγαθοκλινοῦς προαιρέσεως,γραφόμενοι ἕκαστος ὑμῶν καθ' ἃ δύναται καὶ προαιρεῖται εἰς τὸ μνημονεύεσθαι καὶ εἰς τὸ ἱερὸν τοῦτο μονύδριον, ὁ μὲν δηλαδὴ παρρησίαν, ὁ δὲ πρόθεσιν, ὁ δὲ σαρανταλείτουργον, ὁ δὲ ἀδελφᾶτον καὶ ἄλλος ἄλλο τι, πολὺ ἢ ὀλίγον, ὡς ἐκ θεοῦ φωτισθῇ, ἵνα διὰ τῆς θεαρέστου ὑμῶν συνδρομῆς τε καὶ βοηθείας ἔλθῃ εἰς τελείαν κατάστασιν τὸ θεῖον καὶ ἱερὸν τοῦτο μονύδριον καὶ ἕξητε ἅπαντες τὸ μνημόσυνον αἰώνιον καὶ ἀθάνατον καὶ τὴν ἐν αὐτῷ τιμωμένην χαριτόβρυτον καὶ Κυρίαν μας Θεοτόκον τὴν Ζωοδόχον Πηγὴν ἀπροσμάχητον βοηθὸν εἰς ὅλας τὰς χρείας σας καὶ τὰς ἀμοιβὰς πολλαπλασίως θεὸ - (64)θεν. Οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος καὶ ἡ εὐχὴ καὶ εὐλογία τῆς ἡμῶν ταπεινότητος εἴη μετὰ πάντων ὑμῶν.

αψμγ΄. Μαΐου κθ΄.

ὁ Λητζᾶ καὶ Ἀγράφων Κωνστάντιος

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΤΟΝ ΟΙΚΟΥΜΕΝΙΚΟΝ ΠΑΤΡΙΑΡΧΗΝ ΔΗΛΩΤΙΚΗ ΤΩΝ ΕΝ ΤΩ ΙΕΡΩ ΤΟΥΤΩ ΜΟΝΥΔΡΙΩ ΓΕΝΟΜΕΝΩΝΕΓΚΑΙΝΙΩΝ

Τῷ Παναγιωτάτῳ ἡμῶν αὐθέντῃ καὶ Δεσπότῃ καὶ Οἰκουμενικῷ Πατριάρχῃ κυρίῳ κυρίῳ Νεοφύτῳ, τὴν ὀφειλομένην δουλικὴν μετάνοιαν καὶ προσκύνησιν.

Ἀπὸ τὰ πολλὰ ναυάγια ὁποῦ μᾶς ἀκολούθησαν Παναγιώτατε ἡμῶν αὐθέντα καὶ Δέσποτα, δὲν ἐδυνήθηκα ὁ ἐλάχιστος νὰ κάμω τινὰ ἄλλην εὐχαριστίαν εἰς τὴν ὑμετέραν παναγιότητα ὑπὲρ ὧν ἀπήλαυσα παρ' αὐτῆς δωρεῶν, εἰμὴ μόνον δεήσεις πολλὰς ὑπὲρ αὐτῆς, πρὸς τὴν χαριτόβρυτον Πηγήν, τὴν Κυρίαν ἡμῶν Θεοτόκον, ἥτις καὶ τὴν ἐδιαφύλαξεν ἀπὸ τὰ πολλὰ κίνδυνα ὁποῦ τὴν ἀπήντησαν καὶ τὴν ἀξίωσε πάλιν τοῦ θρόνου της εἰς ἄνεσιν ἡμῶν καὶ τελείωσιν τοῦ θείου οἰκητηρίου της, τὸ ὁποῖον καὶ σᾶς δίδομεν τὴν εἴδησιν πῶς δι' εὐχῶν σας ἁγίων τὸ ἐγκαινιάσαμεν κατὰ τὸ παρὸν τώρα εἰς τὰς ἡμέρας σας καὶ ἂς εἶναι δεδοξασμένον αὐτῆς τῆς Κυρίας τὸ πανάγιον ὄνομα ὁποῦ μᾶς ἐχαροποίησε μὲ τὸ τέλος τῆς μεσιτείας μας, ὅσα δὲ δεινά τε καὶ χαλεπὰ μᾶς ἀκολούθησαν περὶ τούτου προτήτερα καὶ τὰ τῆς καταστάσεώς μας, τίς ἡ χρεία νὰ τὰ γράψωμεν, αὐτὰ ὅλα θέλουν σᾶς τὰ φανερώσει λεπτομερῶς οἱ ἐγχειρισταὶ τοῦ παρόντος διὰ στόματος, μὲ τοὺς ὁποίους καὶ σᾶς πέμπομεν εὐχῆς τε καὶ εὐλογίας ἕνεκα καὶ ἕνα σφαλικταράκι, ἔχοντας εἰκονισμένον εἰς τὸ ἕνα μέρος τὸν Τίμιον Πρόδρομον καὶ εἰς τὸ ἄλλο τὴν Κυρίαν μας Θεοτόκον, τὴν ὁποίαν καὶ παρακαλοῦμεν, μὲ ὅλην μας τὴν ψυχὴν καὶ καρδίαν, πάντοτε νὰ διαφυλάττῃ καὶ εἰς τὸ ἑξῆς ἔξω παντὸς κινδύνου τὴν ὑμετέραν Παναγιότητα καὶ μὲ τέλος ἀγαθὸν νὰ τὴν ἀξιώσῃ καὶ τῆς οὐρανίου μακαριότητος. Καὶ τὰ παρ' ἡμῶν μὲν ταῦτα ἀκαταπαύστως πρὸς τὴν χαριτόβρυτον τὴν Κυρίαν ἡμῶν ὑπὲρ τῆς ὑμετέρας Παναγιότητος, αἱ δὲ πανάγιαι καὶ θεοπειθεῖς αὐτῆς (65) εὐχαί τε καὶ εὐλογίαι εἴησαν ἡμῖν φύλακες ἀρωγοὶ ἐν παντὶ τῷ βίῳ ἡμῶν. Ἀμήν.

αψμγ! Ἰουλίου κ΄

Τῆς ὑμετέρας Παναγιότητος δοῦλος εὐτελὴς καὶ ἐλάχιστος.

Διονύσιος Ἱερομόναχος ὁ ἱστοριογράφος.

ΕΠΙΣΤΟΛΗ ΠΑΤΡΙΑΡΧΙΚΗ ΣΥΓΧΑΡΗΤΙΚΗ ΠΕΡΙ ΤΩΝ ΕΓΚΑΙΝΙΩΝ ΚΑΙ ΕΥΚΤΙΚΗ ΠΡΟΣ ΤΕΛΕΙΟΝ ΑΠΑΡΤΙΣΜΟΝ ΚΑΙ ΚΑΛΛΩΠΙΣΜΟΝ ΤΟΥ ΙΕΡΟΥ ΤΟΥΤΟΥ ΜΟΝΥΔΡΙΟΥ

ΝΕΟΦΥΤΟΣ ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ

Ὁσιώτατε καθηγούμενε, τοῦ κατὰ τὴν ἐπαρχίαν Λητζᾶ καὶ Ἀγράφων διατελοῦντος ἡμετέρου Πατριαρχικοῦ καὶ Σταυροπηγιακοῦ μοναστηρίου τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου τῆς Ζωοδόχου Πηγῆς, ἐν ἱερομονάχοις κὺρ Διονύσιε, χάρις εἴη σοῦ τῇ ὁσιότητι καὶ εἰρήνη ἀπὸ Θεοῦ.

Τὸ γράμμα τῆς σῆς ὁσιότητος ἐλάβαμεν καὶ γνόντες τὴν ὑγείαν σου ἐχάρημεν, ἔγνωμεν δὲ καλῶς καὶ τὰ ἐφ' ἑξῆς ἐν αὐτῷ γραφόμενα καὶ ὅτι ἐνεκαίνισε τὸν Θεῖον καὶ ἱερὸν ναὸν τοῦ μοναστηρίου, ὅπερ τετιμήκαμεν πρότερον Πατριαρχικῇ καὶ Σταυροπηγιακῇ φιλοτιμίᾳ. Ὁ ἅγιος Θεὸς δι' εὐχῶν ἡμῶν νὰ σὲ ἐνδυναμώσῃ ὁποῦ νὰ φέρῃς εἰς καλλιτέραν κατάστασιν καὶ κυβέρνησιν αὐτὸ τὸ σεβάσμιον μοναστήριον. Ἐλάβομεν καὶ τὸ σταλὲν ἡμῖν σφαλικταράκι τῆς εἰκόνος, ἔχον ἀπὸ μὲν τοῦ ἑνὸς μέρους τὸν τίμιον Πρόδρομον, ἀπὸ δὲ τοῦ ἄλλου τὴν Κυρίαν ἡμῶν Θεοτόκον καὶ ἔχε τὴν εὐχήν μας, μὴ διαλείπῃς δὲ πάντοτε ἀπὸ τοῦ νὰ δέεσαι ἐκτενέστερον τοῦ Ἁγίου Θεοῦ καὶ τῆς Ζωοδόχου Πηγῆς ὑπὲρ ὑγείας καὶ συνδιατηρήσεως ἡμῶν καὶ δὲν θέλεις ἀποτυγχάνει τῆς ἡμετέρας εὐνοίας καὶ ὑπερασπίσεως. Ἡ χάρις τοῦ Θεοῦ καὶ ἡ εὐχὴ καὶ ἡ εὐλογία τῆς ἡμῶν μετριότητος εἴη μετὰ τῆς σῆς ὁσιότητος.

αψμγ' Ὀκτωβρίου κθ'

Ὁ Κωνσταντινουπόλεως καὶ ἐν Χριστῷ εὐχέτης Νεόφυτος.

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΤΟΝ ΟΙΚΟΥΜΕΝΙΚΟΝ ΠΑΤΡΙΑΡΧΗΝ ΕΞΑΓΓΕΛΤΙΚΗ ΖΗΜΙΑΣ ΤΟΥ ΙΕΡΟΥ ΤΟΥΤΟΥ ΜΟΝΥΔΡΙΟΥ

Τῷ Παναγιωτάτῳ καὶ θειοτάτῳ Οἰκουμενικῷ Πατριάρχῃ κυρίῳ, κυρίῳ Νεοφύτῳ τὴν ἐκ μέσης ψυχῆς καὶ καρδίας, σὺν τῷ Χριστὸς Ἀνέστη, εἰλικρινῆ καὶ ἐδαφιαίαν μετάνοιαν.

Τὸ αἴτιον ὁποῦ μὲ ἐπαρακίνησε νὰ σᾶς προσκυνήσω μὲ τὸ ταπεινόν μου γραμμάτιον, δὲν εἶναι ἄλλο Παναγιώτατε ἡμῶν αὐθέντα καὶ Δέσποτα, παρὰ τὸ πολὺ θάρρος ὁποῦ μὲ ἔδωκεν ἡ καλοκαγοθία τῆς ὑμετέρας Παναγιό- (66) τητος καὶ μὲ ἔκαμεν ὅλον αἰχμάλωτον εἰς τὴν αὐτῆς ἐνθύμησιν, ἥτις καὶ μετὰ τὰς τοσαύτας πλουσίας δωρεάς τε καὶ χάριτας ὁποῦ μὲ ἔκαμεν διὰ τὸ θεῖον μονύδριον, εὐθὺς ὁποῦ τῆς ἔγινα αὐτόπτης καὶ τὴν ἐπροσκύνησα, μὲ ἀξίωσεν ἔτι μετὰ ταῦτα καὶ παναγίου της Γράμματος, πρᾶγμα ἀληθινὰ νὰ τὸ λογιάσῃ τινας, πολλὰ ἀσύγκριτον εἰς τὸ ἰδικόν μου πρόσωπον καὶ εἰς τὸ αὐτῆς μεγαλεῖον καὶ ἔξοχον καὶ ἃς εἶναι δεδοξασμένος ὁ τῶν ποιμένων *Ποιμὴν καὶ Ἀρχιερεὺς Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς* ὁποῦ τὴν ἐχαρίτωσε τόσον καὶ μὲ ἄλλας, λέγω, πολλὰς ἀρετάς τε καὶ χάριτας καὶ μὲ τόσην μετριοφροσύνην καὶ καταδέχεται καὶ δείχνει τοσαύτην ἀγάπην εἰς ἐμὲ τὸν ἐλάχιστον, ὁποῦ δὲν εἶμαι ἱκανὸς νὰ τὴν ἐξαγοράσω μὲ τρόπον ἕτερον, εἰμὴ μόνον μὲ ὁλονυκτίους ἀγρυπνίας πρὸς τὴν πανάχραντον Δέσποιναν ἡμῶν Θεοτόκον τὴν Ζωοδόχον Πηγήν, εἰς ἣν καὶ εὐχόμενος ὑπερεύχομαι πάντοτε ἐν τῷ θείῳ αὐτῆς οἰκητηρίῳ ὑπὲρ τῆς κατὰ ἄμφω ὑγείας καὶ συνδιατηρήσεως τῆς ὑμετέρας Παναγιότητος, ἔγραψα δὲ καὶ τὸ ὄνομά της τὸ τίμιον νὰ μνημονεύεται ὡς κτίτωρ μετὰ τῶν μακαρίων γονέων της διὰ παντός, ἔν τε τῇ Ἁγίᾳ προθέσει καὶ τῇ Ἱερᾷ ἐκφωνήσει. Καὶ τὰ μὲν τῆς ὑμετέρας παναγιότητος πρὸς ἡμᾶς καὶ τὰ ἡμῶν πρὸς αὐτὴν ταῦτα. Τί δὲ ἔπασχον μέχρι τοῦδε παρά τινων χριστιανῶν, μὴ φοβουμένων τὸν Κύριον, θαρρῶ ὅτι νὰ τὰ ἐμάθατε, οἵτινες καὶ κατὰ ταύτας τὰς ἡμέρας βουλόμενοι νὰ μᾶς ἀφανίσουν, μᾶς ἐδιέβαλαν διὰ τὸ θεῖον ἡμῶν μονύδριον ὡς καὶ εἰς αὐτὸν τὸν μουλᾶν τῆς Λαρίσης καὶ μᾶς ἐτζερεμέτησαν ἀδίκως γρόσια τὸν ἀριθμὸν διακόσια, ἅτινα τὰ ἐλάβαμεν ἀπὸ τοὺς Λαρισαίους μὲ τὸ διάφορον τὰ δέκα πρὸς ἕνδεκα ἥμισυ καὶ τὰ ἐνεχειρίσαμεν, κατὰ τῶν ὁποίων παρακαλοῦμεν νὰ κάμητε ἕνα ἀφοριστικὸν φρικωδέστατον νὰ διαβασθῇ εἰς τὰ τῶν Ἀγράφων περίχωρα, εἰς πολλῶν σωφρονισμὸν καὶ εἰς ἀρραβῶνα τῆς αἰωνίου τούτων κολάσεως καὶ πρὸς ἡμᾶς νὰ πέμψῃ ἔτι μίαν ἀπανταχοῦ, νὰ τρέξωμεν εἰς τὸ τῶν χριστιανῶν ἔλεος, νὰ ἐβγοῦμεν ἀπὸ τὸ δεινὸν χρέος ἐτοῦτο ὁποῦ (67) μᾶς προεξένησαν.

Οὕτω παρακαλοῦμεν τὴν ὑμετέραν Παναγιότητα νὰ κάμῃ καὶ μὴ ἀποτύχωμεν τῆς *αἰτήσεως*, αἱ δὲ πανάγιαι καὶ θεοπειθεῖς αὐτῆς εὐχαί τε καὶ εὐλογίαι εἴησαν διὰ παντὸς μεθ' ἡμῶν ἀρωγοί τε καὶ φύλακες. Ἀμήν.

αψμδ' Μαρτίου λα'

Τῆς ὑμετέρας Παναγιότητος δοῦλος εὐτελὴς καὶ ἐλάχιστος.
Διονύσιος Ἱερομόναχος ὁ ἱστοριογράφος.

ΓΡΑΜΜΑ ΠΑΤΡΙΑΡΧΙΚΟΝ ΣΥΝΟΔΙΚΟΝ ΚΑΙ ΑΦΟΡΙΣΤΙΚΟΝ ΚΑΤΑ ΤΩΝ ΖΗΜΙΩΣΑΝΤΩΝ ΤΟ ΘΕΙΟΝ ΤΟΥΤΟ ΜΟΝΥΔΡΙΟΝ

ΝΕΟΦΥΤΟΣ ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ

Θεοφιλέστατε ἐπίσκοπε Λητζᾶ καὶ Ἀγράφων, *ἐν Ἁγίῳ* Πνεύματι ἀδελφὲ καὶ συλλειτουργὲ καὶ ἐντιμότατοι κληρικοὶ καὶ εὐλαβέστατοι ἱερεῖς καὶ Γέροντες χρήσιμοι τῆς ἐπαρχίας ταύτης, χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ.

Ὁ ὁσιώτατος καθηγούμενος τοῦ αὐτόθι ἱεροῦ καὶ σεβασμίου ἡμετέρου Πατριαρχικοῦ Σταυροπηγιακοῦ νέου μοναστηρίου τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου τῆς Ζωοδόχου Πηγῆς, ἀνέφερεν ἡμῖν ὅτι τινὲς χριστιανοί, φθόνῳ καὶ κακίᾳ φερόμενοι, διέβαλον καὶ *κατέτρεξαν* αὐτὸν ἀλλοτριοτρόπως καὶ ἐγένοντο αἴτιοι διὰ τῆς καταδρομῆς καὶ διαβολῆς αὐτῶν ταύτης ζημιωθῆναι τοῦτον μεγάλως, χωρίς τινος εὐλόγου αἰτίας, ὅστις μὴ ἀνεχόμενος τῆς ζημίας ταύτης ἐζήτησε κατ' αὐτῶν τὸ παρὸν ἐκκλησιαστικὸν *ἐπιτίμιον* καὶ δή, *εἰ οὕτως ἔχει*, γράφομεν συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων καὶ ὑπερτίμων τῶν ἐν Ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ὅσοι καὶ ὁποῖοι χριστιανοί, *ἱερωμένοι* ἢ λαϊκοί, κατέτρεξαν καὶ διέβαλον τὸν καθηγούμενον τοῦτον Διονύσιον τοῦ ῥηθέντος μοναστηρίου ὑπὸ ἰδίας ἐθελοκακίας κινούμενοι καὶ ἐζημίωσαν αὐτόν τε καὶ τὸ ἱερὸν αὐτοῦ μοναστήριον χωρὶς τῆς εὐλόγου αἰτίας, ἐὰν μὴ διορθώσωσι τὸ *σφάλμα* τῆς διαβολῆς αὐτῶν καὶ τὴν ὅσην ζημίαν αὐτῷ προεξένησαν, παυσάμενοι τοῦ λοιποῦ τὸ κατατρέχειν καὶ διαβάλλειν καὶ οὐκ ἐξιαθῶσι μετ' αὐτοῦ εἰρηνικῶς περὶ τῆς ζημίας ταύτης, ἀλλὰ *παρακούσωσι* καὶ ἐπιμείνωσι τῇ ἐθελοκακίᾳ αὐτῶν καὶ ἀφήσωσιν αὐτὸν ἐζημιωμένον

καὶ *περίλυπον μέχρι τέλους*, (68) *αὐτοί* τε καὶ *οἱ* γινώσκοντες τοὺς τοιούτους, ἂν μὴ μαρτυρήσωσιν ἐν φόβῳ Θεοῦ καὶ ἀφιλοπροσώπως, ὁμοῦ ἀφωρισμένοι εἴησαν ἀπὸ Θεοῦ Κυρίου Παντοκράτορος καὶ κατηραμένοι καὶ ἀσυγχώρητοι καὶ ἄλυτοι μετὰ θάνατον, αἱ πέτραι καὶ ὁ σίδηρος λυθήσονται αὐτοὶ δὲ οὐδαμῶς, κληρονομήσειεν τὴν λέπραν τοῦ Γιεζῆ, καὶ τὴν ἀγχόνην τοῦ Ἰούδα καὶ εἴησαν στένοντες καὶ τρέμοντες ἐπὶ τῆς γῆς ὡς ὁ Κάϊν, σχισθεῖσα ἡ γῆ *καταπίῃ αὐτούς, ὡς τὸν Δαθὰν καὶ* Ἀβειρών, ἡ ὀργὴ τοῦ Θεοῦ εἴη ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ ἡ μερὶς αὐτῶν μετὰ τοῦ προδότου Ἰούδα καὶ προκοπὴν οὐ μὴ ἴδοιεν πώποτε ἐφ' οἷς δουλεύουσιν εἰς ὅλην τὴν ζωὴν αὐτῶν, ἔχοιεν καὶ τὰς ἀρὰς τῶν Ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων Πατέρων τῶν ἐν Νικαίᾳ καὶ τῶν λοιπῶν Ἁγίων *συνόδων*, προφανῶς δὲ ἐλεγχόμενοι οἱ ζημιώσαντες αὐτὸν καὶ τὸ μοναστήριον ὑπάρχωσι καὶ ἔξω τῆς Χριστοῦ Ἐκκλησίας, μηδεὶς *ἐκκλησιάσῃ αὐτούς*, ἢ *ἁγιάσῃ*, ἢ *θυμιάσῃ*, ἢ ἀντίδωρον δῷ, ἢ συμφάγῃ αὐτοῖς, ἢ συμπίῃ, ἢ συναναστραφῇ καὶ χαιρετίσῃ, ἢ μετὰ θάνατον θάψῃ, ἐν ἀργίᾳ *καὶ* ἀφορισμῷ, ἕως οὗ ποιήσωσιν ὡς γράφομεν.

Ἐν μηνὶ Μαΐῳ Ἰνδικτιῶνος Ζ' (προφανῶς ἐν ἔτει 1744)

Ὁ Κωνσταντινουπόλεως *καὶ Οἰκουμενικὸς Πατριάρχης* Νεόφυτος.

Ὁ Καισαρείας Παρθένιος, ὁ Κυζίκου Ἀνανίας, ὁ Νικαίας Καλλίνικος, ὁ Λητζᾶ καὶ Ἀγράφων Κωνστάντιος.

ΓΡΑΜΜΑ ΠΑΤΡΙΑΡΧΙΚΟΝ ΧΑΡΙΝ ΕΛΕΟΥΣ ΚΑΙ ΒΟΗΘΕΙΑΣ ΥΠΕΡ ΑΥΤΗΣ ΤΗΣ ΖΗΜΙΑΣ ΔΟΘΕΝ ΤΟΥ ΙΕΡΟΥ ΜΟΝΥΔΡΙΟΥ

ΝΕΟΦΥΤΟΣ ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ

Οἱ τῷ καθ' ἡμᾶς Πατριαρχικῷ, Ἀποστολικῷ, Οἰκουμενικῷ θρόνῳ ὑποκείμενοι ἱερώτατοι μητροπολῖται καὶ ὑπέρτιμοι θεοφιλέστατοι ἀρχιεπίσκοποι καὶ ἐπίσκοποι, ἐν Ἁγίῳ Πνεύματι ἀγαπητοὶ ἀδελφοὶ καὶ συλλειτουργοὶ καὶ ἐντιμότατοι κληρικοὶ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ ἑκάστης *ἐπαρχίας, εὐλαβέστατοι ἱερεῖς* καὶ ὁσιώτατοι ἐν ἱερομονάχοις, οἱ ψάλλοντες ἐν ταῖς ἐκκλησίαις τῆς Πόλεως, τοῦ Γαλατᾶ, ὅλου τοῦ Καταστένου

καὶ (69) ἁπανταχοῦ εὐγενέστατοι ἄρχοντες χρήσιμοι, ἐπίτροποι τῶν ἐκκλησιῶν καὶ πραγματευταὶ καὶ καραβοκύριοι καὶ πρωτομαγίστορες τῶν ῥουφετίων καὶ γεωργοὶ καὶ βοσκοὶ καὶ λοιποὶ χριστιανοί, τέκνα ἐν Κυρίῳ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν ἅπασι καὶ εἰρήνη ἀπὸ θεοῦ καὶ παρ' ἡμῶν εὐχή, εὐλογία καὶ συγχώρησις.

Τὸ τῆς ἐλεημοσύνης θεοδίδακτον καὶ θεοπαράδοτον ἔργον, ἁπλῶς μὲν πρὸς ἐνδεεῖς καὶ πένητας, ἔτι δὲ καὶ τελείως ἀπόρους γινόμενον, οὐκ ὀλίγον τὴν ἀμοιβὴν τοῖς ἐλεήμοσιν ἐπιμνηστεύεται, ὥστε καὶ τὸν Θεὸν ὀφειλέτην αὐτοῖς ποιεῖν. Ὁ ἐλεῶν γάρ, φησί, πτωχόν, δανείζει θεῷ καὶ βαλὼν ἐν τῇ χειρὶ τοῦ πένητος, εὑρήσει ἐν τῇ παλάμῃ τοῦ Κριτοῦ ὡς ἀποκείμενον θησαυρὸν ἐν τῇ ἡμέρᾳ τῆς κοινῆς ἀνταποδόσεως· αὕτη καὶ γὰρ ῥύεται ψυχὴν ἐκ θανάτου καὶ καλύπτει πλῆθος ἁμαρτιῶν. Δι' ὃ μακάριοι, φησίν ὁ Κύριος, οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. Ἀλλ' ὅταν εἰς θείους ναοὺς καὶ ἱερὰ καταγώγια χορηγεῖται καὶ γίνεται ἡ ἐλεημοσύνη, τότε μᾶλλον ἐστι θεάρεστος καὶ μακαριωτέρα καὶ μείζονας παρέχει τὰς οὐρανίους ἀντιδόσεις τοῖς μετὰ προθυμίας ἐργαζομένοις αὐτήν.

Γνωστὸν οὖν ὑμῖν ἔστω ὅτι καὶ κατὰ τὴν ἐπισκοπὴν Λητζᾶ καὶ Ἀγράφων, εἰς χωρίον «Φουρνᾶς» λεγόμενον, εὑρίσκεται ἱερὸν καὶ Σταυροπηγιακὸν μοναστήριον ἐπ' ὀνόματι τιμώμενον τῆς ὑπεραγίας ἡμῶν Θεοτόκου, τῆς Ζωοδόχου Πηγῆς ἐπικεκλημένον, ὅπερ τῇ τοῦ πανδαμάτορος χρόνου φορᾷ παλαιωθέν, κατεδαφισθὲν καὶ εἰς τέλος ἀφανισθέν, ζήλῳ θείῳ κινούμενος ὁ ἐν αὐτῷ εὑρισκόμενος ὁσιώτατος ἐν ἱερομονάχοις καὶ πνευματικοῖς πατράσι κὺρ Διονύσιος, ἀνήγειρε καὶ ἐνῳκοδόμησεν ἐκ βάθρων καὶ θεμελίων. Ὕστερον μέντοι, διαβολαῖς τινων κακοτρόπων, ἐζημιώθη περίπου τὰ διακόσια γρόσια, ἅτινα ἐδανείσθη παρά τινων ἐξωτερικῶν καὶ ἀπέδωκε τοῖς κρατοῦσιν. Ὅθεν ἀπαιτούμενος ἤδη ταῦτα καὶ μὴ ἔχων ἀποδοῦναι, τρέχει μετὰ Θεόν, εἰς τὸ ἔλεος ὑμῶν τῶν φιλελεημόνων χριστιανῶν, ὁμοῦ μετὰ τῆς συνοδείας αὐτοῦ χάριν ἐλέους καὶ βοηθείας. Ἀποδεξάμενοι τοίνυν αὐτὸν εὐμενῶς συνδράμετε καὶ βοηθήσατε ἔργῳ καὶ λόγῳ καὶ (70) *ἐλεημοσύνην ἐπίδοτε*, καὶ πλουσίᾳ χειρὶ καὶ φιλελεήμονι προαιρέσει, ὁ μὲν δηλονότι πρόθεσιν, ὁ δὲ σαραντάριον, ὁ δὲ σαρανταλείτουργον, ὁ δὲ ἀδελφᾶτον, καὶ ἄλλος ἄλλο τι, πολὺ ἢ ὀλίγον, ἕκαστος ὡς φωτισθῇ καὶ ὁδηγηθῇ θεόθεν. Ἵνα διὰ τῆς θεαρέστου ὑμῶν ἐλεημοσύνης, οὗτος μὲν δυνηθῇ πληρῶσαι τὸ ῥηθὲν χρέος καὶ ἐλευθερῶσαι τῆς ἐντολῆς ἑαυτόν

τε καὶ τὸ ῥηθὲν ἱερὸν μοναστήριον, ὑμεῖς δὲ ὡς νέοι κτίτορες ἀναφανέντες, τὸ μνημόσυνον ὑμῶν ἀκατάπαυστα ἕξοιτε καὶ ζωὴν τὴν αἰώνιον κληρονομήσητε ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, οὗ ἡ χάρις καὶ τὸ ἔλεος εἴη μετὰ πάντων ὑμῶν. Ὦ τινι ἱερομονάχῳ κὺρ Διονυσίῳ, δεδώκαμεν καὶ ἄδειαν ἐπιτραχήλιον φέρειν καὶ τὰ ἱερὰ ἐκτελεῖν καὶ ἁγιασμοὺς καὶ παρακλήσεις, τούς τε λογισμοὺς τῶν προσερχομένων αὐτῷ χριστιανῶν χάριν ἐξομολογήσεως ἀναδέχεσθαι, εἰδήσει καὶ προτροπῇ τῶν κατὰ τόπον προϊσταμένων.

ϛψμδ' μηνὶ Μαΐῳ ἰνδικτιῶνος Ζ'.

ΕΠΙΣΤΟΛΗ ΠΑΤΡΙΑΡΧΙΚΗ ΠΡΟΣ ΤΟΝ ΛΗΤΖΑ ΚΑΙ ΑΓΡΑΦΩΝ ΤΟΥ ΕΠΙΣΚΕΠΤΕΣΘΑΙ ΩΣ ΣΤΑΥΡΟΠΗΓΙΑΚΟΝ ΓΙΝΩΣΚΟΝΤΑ ΤΟ ΘΕΙΟΝ ΤΟΥΤΟ ΜΟΝΥΔΡΙΟΝ

ΠΑΪΣΙΟΣ ΕΛΕῼ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ

Θεοφιλέστατε ἐπίσκοπε Λητζᾶ καὶ Ἀγράφων, ἐν Ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος, χάρις εἴη σου τῇ θεοφιλίᾳ καὶ εἰρήνη ἀπὸ θεοῦ.

Γνωστὸν ἔστω τῇ ἀρχιερωσύνῃ σου ὅτι αὐτόθι εἰς τὴν ἐπαρχίαν σου, εἰς χωρίον Φουρνᾶς λεγόμενον, διατελεῖ τι ἱερὸν καὶ σεβάσμιον ἡμέτερον Πατριαρχικὸν Σταυροπηγιακὸν μοναστήριον, τὸ ἐπὶ ὀνόματι τιμώμενον τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου τῆς Ζωοδόχου Πηγῆς τῆς Φανερωμένης, ὅπερ τετίμηται τῇ πατριαρχικῇ ταύτῃ καὶ Σταυροπηγιακῇ φιλοτιμίᾳ ἐπὶ τῆς πατριαρχίας τοῦ πρὸ ἡμῶν κὺρ Νεοφύτου, περὶ οὗ καὶ φροντίζοντες διὰ τὴν καλὴν κατάστασιν καὶ κυβέρνησιν αὐτοῦ καὶ διὰ νὰ ἔχωσιν ἄνεσιν καὶ ἡσυχίαν οἱ ἐν αὐτῷ συνασκούμενοι *ὁσιώτατοι πατέρες καὶ νὰ ἐπιμελῶνται αὐτὸ προθύμως καὶ* νὰ μὴν ἐπηρεάζωνται (71) καὶ ἐνοχλοῦνται παρ' ὁτινοσοῦν προσώπου, γράφοντες διὰ τοῦ παρόντος ἐντελλόμεθα καὶ παραγγέλλομεν τῇ ἀρχιερωσύνῃ σου, ὅπως γινώσκων τὸ ῥηθὲν μοναστήριον τῆς Ζωοδόχου Πηγῆς ἡμέτερον πατριαρχικὸν Σταυροπηγιακόν, νὰ ἐπιμελῆσαι αὐτό, νὰ μὴν ἀφήνῃς νὰ κατατρέχεται καὶ νὰ ἐπηρεάζεται παρ' ὁτινο-

σοῦν προσώπου, ἀλλὰ νὰ ὑπερασπίζεσαι καὶ νὰ βοηθῇς αὐτό τε καὶ τὸν ἐν αὐτῷ εὑρισκόμενον ἡγούμενον καὶ τοὺς πατέρας, διὰ νὰ ἔχωσιν ἄνεσιν καὶ ἡσυχίαν καὶ αὐτοὶ καὶ νὰ ἀγωνίζωνται τὸν καλὸν ἀγῶνα καὶ νὰ προθυμοῦνται εἰς τὴν σύστασιν καὶ καλὴν κυβέρνησιν αὐτοῦ. Οὕτω ποίησον καὶ μὴ ἄλλως ἐξαποφάσεως, ἡ δὲ τοῦ Θεοῦ χάρις εἴη μετὰ σοῦ.

ͅαψμδ' Μαΐου ιη'.

Ὁ Κωνσταντινουπόλεως καὶ ἐν Χριστῷ ἀδελφὸς Παΐσιος.

ΓΡΑΜΜΑ ΧΑΡΙΝ ΕΛΕΟΥΣ ΚΑΙ ΒΟΗΘΕΙΑΣ ΛΟΘΕΝ ΠΑΡΑ ΤΟΥ ΘΕΟΦΙΛΕΣΤΑΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΛΗΤΖΑ ΚΑΙ ΑΓΡΑΦΩΝ ΥΠΕΡ ΤΟΥ ΘΕΙΟΥ ΤΟΥΤΟΥ ΜΟΝΥΔΡΙΟΥ

Οἱ ἀνὰ πᾶσαν τὴν ἡμετέραν ἐπαρχίαν διατελοῦντες ἐντιμότατοι κληρικοί, εὐλαβέστατοι ἱερεῖς, χρήσιμοι ἄρχοντες καὶ προεστῶτες, τίμιοι γέροντες καὶ λοιποὶ πάντες εὐλογημένοι χριστιανοί, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν ταπεινότητος, χάρις εἴη ὑμῖν ἅπασιν, εἰρήνη τε καὶ ἔλεος παρὰ Θεοῦ καὶ παρ' ἡμῶν εὐχή, εὐλογία καὶ συγχώρησις.

Πολλὴ κατὰ ἀλήθειαν ἐστὶν ἡ πρὸς τοὺς πτωχοὺς καὶ πένητας γινομένη ἐλεημοσύνη καὶ βοήθεια καὶ πολὺ τὸ ὄφελος τοῖς ποιοῦσιν αὐτὴν παρὰ Θεοῦ χορηγεῖται ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως, ἀλλ' ἐξαιρέτως περισσοτέραν τὴν ἀμοιβὴν αὐτοῖς παρέχεται ὅταν εἰς θείων σκηνωμάτων καὶ ἱερῶν καταγωγίων ἀνέγερσιν διενεργεῖται καὶ δαψιλῶς χορηγεῖται. Ὁπόσον γὰρ ὁ δημιουργὸς Θεὸς ὑπέρκειται κατὰ πάντα, τρόπον ἀγγέλων τε καὶ ἀνθρώπων καὶ τῶν λοιπῶν ἁπάντων κτισμάτων, τοσοῦτον εἰσὶ μεγαλήτεραι καὶ ὠφελιμώτεραι παρὰ τῶν λοιπῶν ἐλεημοσυνῶν καὶ αἱ διδόμεναι ἐλεημοσύναι πρὸς αὐτὸν τὸν Θεόν, δηλονότι εἰς τὰς ἁγίας αὐτοῦ ἐκκλησίας καὶ ἱερὰ μοναστήρια, ἅτινα καὶ ὑπάρχουσι, κατὰ τὸν προφητάνακτα Δαβίδ, τὰ ἀγαπητὰ αὐτοῦ καὶ θεῖα σκηνώματα, περὶ ὧν καὶ ἐπάγει λέγων. «Κύριε ἠγάπησας εὐπρέπειαν οἴκων σου καὶ τόπον σκηνώματος δόξης σου», ἐξ ὧν ἐστὶν ἓν καὶ τὸ ἱερὸν μονύδριον τῆς ὑπεραγίας ἡμῶν (72) Θεοτόκου τῆς Ζωοδόχου Πηγῆς, τὸ ἐν τῇ ἡμετέρᾳ ἐπαρχίᾳ κείμενον, κατὰ τὸ κλῖμα τῶν Ἀγράφων ἀπέναντι τῆς κώμης Φουρνᾶ, τὸ κατὰ νεῦσιν θείαν ἐνιδρυθὲν εἰς τὰς ἡμέρας ἡμῶν διὰ τὴν σω-

τηρίαν πάντων τῶν περὶ αὐτὸ οἰκούντων χριστιανῶν, τῶν βουλομένων ἀποτάξασθαι τῷ κόσμῳ καὶ δι' ἀσκητικοῦ βίου εὐαρεστῆσαι Θεῷ καὶ μὴ δυναμένων ἀπιέναι εἰς τὰ πόρρω μοναστήρια, ἔτι δὲ καὶ διὰ Διδασκαλεῖον καὶ σπουδαστήριον ἱερῶν γραμμάτων καὶ ἐπιστημονικῶν μαθημάτων παντὸς βουλομένου εἰς τὴν τούτων κατάληψιν καὶ θείαν θεωρίαν ἐλθεῖν, εἰς τοῦ ὁποίου τὴν οἰκοδομὴν ἔτρεξαν πάμπολλα ἔξοδα καὶ κόποι οὐκ ὀλίγοι, ἀπό τε τὸ τραχὺ τοῦ τόπου ἐνῷ ἐνίδρυται καὶ ἀπό τε τοὺς κρατοῦντας κατὰ τὰς ἡμέρας ταύτας διὰ τὰς ἁμαρτίας μας, πρὸς οὓς καὶ πρὸ τῆς αὐτοῦ τελειώσεως εὑρισκομένου εἰς χρέος, ἐδιαβάλθη παρά τινων μισοχρίστων καὶ ἐπιβούλων καὶ ἐζημιώθη ἔτι περίπου τὰ διακόσια γρόσια, ἅτινα λαβὼν καὶ αὐτὰ μὲ τὸ διάφορον ἀπέδωκεν αὐτοῖς ὁ ὁσιώτατος οὗτος πνευματικὸς πατὴρ κὺρ Διονύσιος καὶ γνήσιος αὐτοῦ κτίτωρ, ὅστις μετὰ ταῦτα συσταίνοντας τὸ Σχολεῖον ἐν αὐτῷ καὶ βάζοντας μισθωτὸν Διδάσκαλον, ἔγνω ὑπὲρ πάντων τούτων καταφυγεῖν, ἐλέους καὶ βοηθείας ἕνεκεν, πρὸς τὰ φιλελεήμονα σπλάχνα σας. Ὅθεν καὶ μεθ' ὧν ἐπιφέρει περὶ τῆς τοῦ ἱεροῦ μονυδρίου τούτου ἀνεγέρσεως καὶ συστάσεως συνοδικῶν καὶ πατριαρχικῶν σιγιλλιωδῶν Γραμμάτων καὶ μεθ' οἵας δήποτε ἱεροπραξίας καὶ ἐνεργείας ἣν αὐτὸς ἔχει παρὰ τῆς Ἐκκλησίας, δεδώκαμεν αὐτῷ καὶ τὸ παρὸν καὶ γράφοντες εὐχόμεθα καὶ εὐλογοῦμεν ὑμᾶς ἅπαντας, ὅπως ὑποδεχθῆτε αὐτὸν εὐλαβῶς τε καὶ φιλοφρόνως καὶ συνδράμητε καὶ βοηθήσετε αὐτὸν ἅπαντες ὡς ἄκρον ὑπέρμαχον καὶ πιστὸν ἐργάτην τοιούτου θεαρέστου ἔργου καὶ φίλον τῆς σπουδῆς καὶ διδασκαλίας καὶ κτίτορα οἴκου Θεοῦ, ἐν ᾧ βίος ἀσκητικῆς πολιτείας διαδείκνυται καὶ πολιτεύεται καὶ θύεται καθ' ἑκάστην καὶ σφαγιάζεται ὑπὲρ πάντων ἡμῶν ὁ Κύριος καὶ ὁ ἀμνὸς τοῦ Θεοῦ καὶ σαφῶς ἐκδιδάσκεται ἡ διδασκαλία αὐτοῦ ἡ σωτήριος, καὶ γραφῆτε ἕκαστος ὑ-(73)μῶν ἐπὶ τὸ μνημονεύεσθαι διὰ παντὸς καὶ ἐν αὐτῷ, ὡς καὶ εἰς τὰ λοιπὰ μοναστήρια, ὁ μὲν δηλαδὴ πρόθεσιν, ὁ δὲ παρρησίαν, ὁ δὲ σαρανταλείτουργον, ὁ δὲ ἀδελφᾶτον καὶ ἄλλος ἄλλο τι πολὺ ἢ ὀλίγον, ἵνα διὰ τῆς θεαρέστου ὑμῶν ἐλεημοσύνης, τὸ μὲν θεῖον τοῦτο μονύδριον ἀπαρτισθῇ καὶ τελειωθῇ, ὁ δὲ ὁσιώτατος πνευματικὸς ἀποφορτισθῇ καὶ ἀπαλλαγῇ ἐκ τοῦ χρέους τούτου καὶ τῆς ἀνάγκης, ὑμεῖς δὲ ἕξητε τὸν μισθὸν πολλαπλάσιον καὶ τὸ μνημόσυνον αἰώνιον καὶ ἀθάνατον ὡς κτίτορες, καὶ τὴν ἐν αὐτῷ χαριτόβρυτον καὶ κυρίαν μας Θεοτόκον τὴν Ζωοδόχον Πηγήν, ἀπροσμάχητον βοηθὸν εἰς πάσας τὰς χρείας σας καὶ παρὰ Θεοῦ τοὺς μισθοὺς μυριοπλασίους.

Οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος καὶ ἡ εὐχὴ καὶ ἡ εὐλογία τῆς ἡμῶν ταπεινότητος εἴη μετὰ πάντων ὑμῶν. Ἀμήν.

Ὁ Λητζᾶ καὶ Ἀγράφων Κωνστάντιος.

Ἔνθα κεῖνται τὰ ἀξιομνημόνευτα καὶ τίμια ὀνόματα τῶν εὐσεβῶν καὶ μακαρίων κτιτόρων τε καὶ αὐθεντῶν τοῦ τε ἀοιδίμου κυρίου *Ἀλεξάνδρου Γκίκα* καὶ τοῦ ἀειμνήστου κυρίου Γρηγορίου Καλλιμάχη, ὧν μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ αὐτοῦ Βασιλείᾳ.

Ἀλεξάνδρου, Γρηγοράσκου καὶ Γρηγορίου τῶν αὐθεντῶν, Ἑλένης Δόμνας Γκίκα, Σμαράγδως, Μανουήλ, Ἀναστασίας, Νικολάου, Σταυράκη, Ἰωάννου, Κωνσταντίνου, Σκαρλάτου, Μακαρίου καὶ Σωφρονίας τῶν μοναχῶν καὶ *τῶν γονέων* καὶ τέκνων καὶ ἀδελφῶν αὐτῶν.

ΒΙΟΣ ΕΝ ΣΥΝΟΨΕΙ ΤΟΥ ΤΗΣ ΜΟΝΗΣ ΚΤΙΤΟΡΟΣ ΚΥΡΙΟΥ ΔΙΟΝΥΣΙΟΥ ΣΥΓΓΡΑΦΕΙΣ ΜΕΝ ΠΑΡΑ ΤΟΥ ΣΟΦΟΛΟΓΙΩΤΑΤΟΥ ΕΝ ΙΕΡΟΜΟΝΑΧΟΙΣ ΚΑΙ ΕΝ ΔΙΔΑΣΚΑΛΟΙΣ ΑΡΙΣΤΟΥ ΚΥΡΙΟΥ ΚΥΡΙΟΥ ΘΕΟΦΑΝΟΥΣ ΟΣΤΙΣ ΕΧΡΗΜΑΤΙΣΕ ΔΙΑΔΟΧΟΣ ΜΕΤΑ ΤΗΝ ΑΥΤΟΥ ΑΠΟΒΙΩΣΙΝ ΚΑΙ ΗΓΟΥΜΕΝΟΣ ΕΝ ΤΩΔΕ ΤΩ ΜΟΝΥΔΡΙΩ

Εἴπερ ἡ θέα μόνη καὶ μορφὴ ἱκανὴ πρὸς γνῶσιν τῶν καθ' ἕκαστα πραγμάτων ὑπῆρχεν, οὐκ ἂν ὑπογραφαῖς καὶ διαφόροις συμβεβηκόσι πρὸς σύστασιν καὶ γνῶσιν οἱ φιλοσοφοῦντες ἐχρῶντο. Ἀλλ' ἐπειδὴ πρὸς ἐντελῆ καὶ εὐκρινῆ γνῶσιν οὐ μικρὸν συμβάλλουσι τὰ τῶν καθ' ἕκαστα *ἐπουσιώδη* συμβεβηκότα, ἐπάναγκες ταῦτα ἐξακριβοῦν καὶ ἐκτίθεσθαι πρὸς εὔκρινῆ καὶ ἀπλανῆ γνῶσιν.

Τοιγαροῦν κἀμὲ *βουλόμενον τὸν* ὁσιώτατον ἐν ἱερομονάχοις καὶ (74)ἡμέτερον πνευματικὸν Πατέρα τοῖς πολλοῖς καὶ μὴ ἀκριβῶς εἰδόσιν *αὐτὸν γνωρίσαι*, μάλιστα δὲ τοῖς μεθ' ἡμᾶς ἐν τῇ Ἁγίᾳ αὐτοῦ μονῇ ἐπανῃρημένοις ἀσκῆσαι, ἀναγκαῖον συντόμως ἐκθέσθαι *τινὰ συμβεβηκότα*, τὴν αὐτοῦ δηλαδὴ πατρίδα, τὸν βίον, τὸ ἐπιτήδευμα, πρὸς τούτοις δὲ καὶ τοὺς αὐτοῦ μαθητὰς καὶ *πνευματικοὺς* παῖδας, ἅτε οὐ μόνον αὐτὸν τοῖς μὴ εἰδόσι συνιστῶντα

καὶ γνωρίζοντα, ἀλλὰ καὶ πολλοὺς πρὸς πόνους καὶ ἀγῶνας πνευματικοὺς ἐρεθίζοντα.

Οὗτος τοιγαροῦν ὁ ἐμὸς σεβάσμιος γέρων, ὑπὸ γονέων ἐν εὐσεβείᾳ καὶ χριστιανικοῖς ἤθεσι *τεθραμμένων* γεννηθείς, κατὰ κοινοῦ μὲν ἐν Εὐρώπῃ κατὰ μέρος δὲ ἐν Ἑλλάδι, κατὰ τὸ κλῖμα τῶν *Ἀγράφων ἐν χώρᾳ Φουρνᾶ*, ἐν παιδικῇ δ' ἔτι ὢν ἡλικίᾳ ὡσεὶ δυοκαίδεκα ἐτῶν ἀπορφανισθείς, εἰς *Βασιλεύουσαν*, κατὰ τὸ ἐπικρατοῦν ἔθος τῶν τὰ αὐτὰ οἰκούντων μέρη, διέβη, τεττάρους ὁλοκλήρους *ἐκεῖσε διατρίψας* χρόνους. Ἐντεῦθεν δὲ θείᾳ μετοικισθεὶς ἐπιπνοίᾳ, ἐφέσει μοναδικοῦ βίου τὸ Ἁγιώνυμον Ὄρος κατέλαβεν. Ἐν τούτῳ δὲ τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ κατὰ μοναχοὺς ἀποκαρεὶς καὶ σὺν αὐτῇ τὸν παλαιὸν ἀποθέμενος ἄνθρωπον, εὐαγγελικῶς τε τὸν νέον ἀμφιεσάμενος καὶ τὸν Σταυρὸν τοῦ Χριστοῦ ἐπ' ὤμων ἀράμενος, διῆγε κελλικῶς καὶ ἡσύχως ἐν τῇ τῶν Καρυαίων σκήτῃ, ἀσκητικῶς κατὰ Χριστὸν ἀγωνιζόμενος. Μετ' οὐ πολὺ δὲ τοσοῦτον εἰς ὕψος ἐλήλακεν ἀρετῶν, ὥστε πολλοὺς τῶν ἐκεῖσε, ἵνα μὴ πάντας εἴπω, ὑπερακοντίσαι. Ὅθεν καὶ πλείονος καὶ ἐντελεστέρας γλιχόμενος ἀγωγῆς, οὐκ ἔλειπε διηνεκῶς τοῖς ἐρημικωτέροις καὶ *ἐνιαίοις μοναχοῖς*, Ἀντωνίταις φημὶ καὶ Καυσοκαλυβίταις, ὁμιλεῖν καὶ συζητεῖν περὶ ἀρετῆς καὶ ἠθικοῦ *βίου, ἓν μόνον ἐν ἑαυτῷ* λογιζόμενος ἄτοπον, τὸ μὴ τρίχας ἐν πώγωνι ἔχειν, ὅπερ πάντη ἀνόσιον τοῖς *τὰ ἐκεῖσε οἰκοῦσι νομίζεται*. Καὶ εἰ τούτων ηὐπόρει κατ' ἐκεῖνον τὸν καιρόν, ταχέως ἂν καὶ τούτων ἀνυπερθέτως τῶν ὑπεροχικῶν τῆς ἀρετῆς τόπων ἐπαφίκετο. Ἀλλ' ἐπειδὴ τοῦτο αὐτὸ πρόσκομμα ὑπερβαλλούσης ἀρετῆς τούτῳ ἀνέκειτο, διέτριβεν ὡς ἔφην, ἐν Κάραις, ἐπισπεύδων ταῖς ὁσημέραι ἀσκήσεσι, τῷ κρείττονι τὸ χεῖρον καθυποτάξαι, οὗτινος ἐς ὕστερον οὐ διήμαρτε κατὰ τόπον μόνον ἐκείνοις διενηνοχώς. (75) Δι' ὅπερ καὶ τῆς ἱερατικοῖς νομίμως τε καὶ κανονικῶς εἰς τὰ μάλιστα ἀξιοῦται τάξεώς τε καὶ χάριτος, ἥτις δι' εὐλάβειαν ἐν τῷδε τῷ Ὄρει πάνυ ὀλίγοις καὶ τούτοις μεθ' οἵας δήποτε ἐρεύνης τε καὶ ἐτάσεως ἀπονέμεται. Προσέτι δὲ εἴ τις ἕτερος κατὰ τοῦτο καιροῦ τοσοῦτον τὴν ζωγραφικὴν καλῶς ἐξησκήσατο τέχνην, ὥστε οὐ μόνον τοὺς *ταύτην μετερχομένους* δίκην κοχλιῶν συστέλλεσθαι τούτου ἀκούοντας καὶ τὴν αὐτοῦ πρὸς αὐτὴν *ἐπίδοσιν ἰδίαν οἰομένους* ζημίαν, ἀλλὰ καὶ τοὺς μηδόλως αὐτῆς γευσαμένους ὑπερεκπερισσοῦ ἐνοχλεῖσθαι καὶ *ταράττεσθαι*, διὰ τὴν ἀπορίαν τῶν αὐτοῖς φιλούντων ζωγράφων. Ὡς ὁ τῆς Καρακάλλου μονῆς προ-

ηγούμενος, ὀνόματι Χριστοφόρος, ἀπέδειξε δημοσίως τοῦτον τῇ *τοῦ ἡγεμόνος ἀδίκῳ συναινέσει*, ῥάβδοις ἀνηλεῶς τοῖς ποσὶ κατατύπτων καὶ καταισχύνων, ὡς τάχα τὰς τῆς μονῆς αὐτῶν εἰκόνας οὐκ ἐντέχνως καὶ εὐμόρφως εἰκόνισεν, ἔχων εἰς νοῦν τὸ τὴν τούτου ἐπιτήδειον καὶ εὐμήχανον εἰκονογραφίαν εἰς τέλος μωμηθῆναι. Οὗτινος τὸ ὕπουλον, ἱερεύς τις ὀνόματι Παφνούτιος, τῆς αὐτῆς ὢν καὶ αὐτὸς ἐμπειρίας καὶ γινώσκων καλῶς τ' ἀληθῆ τῶν πραγμάτων μορφώματα καὶ τὸ πρὸς τοῦτον κατάδηλον ἄδικον, δι' ἐπιστολιμαίου ἐλεγκτικοῦ τύπου αὐστηρῶς ἀπελέγξατο, κατὰ τὸ Δαυϊτικὸν «ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου», κατηγορῶν αὐτοῦ τὴν κατὰ τούτου ἐγχείρησιν οὐχ ἧττον ἀμαθείας καὶ ἀγροικίας, ἢ θεομαχίας καὶ εἰκονομαχίας ἔγκλημα εἶναι. Ταῦτα τοίνυν οὗτος καὶ κατ' αὐτοῦ ἐργασάμενος καὶ πολλῆς ἐρεύνης καὶ συζητήσεως τῶν αὐτῶν τούτων εἰκόνων ἀφορμὴν τοῖς πᾶσι κεχορηγηκώς, τοσοῦτον τὴν τοῦ γέροντος πρὸς τὴν Ζωγραφικὴν ἐμπειρίαν παρὰ πᾶσιν ἐπέσπειρεν, ὥστε οὐ μόνον πάντας πανταχόθεν πρὸς αὐτὸν χάριν χρωματουργίας εἰκόνων προστρέχειν, ἀλλὰ καὶ πολλοὺς τούτου μαθητὰς ἐπιποθοῦντας γενέσθαι. Ἐγένοντο δὲ τούτῳ μαθηταὶ καὶ ἀκόλουθοι οὐκ ὀλίγοι, ἀφ' ὧν τέσσαρες εἰσὶν οἱ τούτῳ πάνυ καλῶς διὰ πολλῶν ἀρετῶν εὐαρεστήσαντες, Κύριλλος, Πέτρος, Ἀγάπιος καὶ Πέτρος. Ὁ μὲν οὖν Κύριλλος ὑπῆρχεν ἐκ νήσου Χίου, ἄνθρωπος εὐλαβὴς καὶ θεοφιλής, ὅσιος, ἄκακος, ταπεινός, πρᾷος, ἁπλοῦς, ἀκέραιος καὶ ἑκάστῳ εἴδει ἀρετῆς κεκοσμημένος, *ἐφ' οἷς ἅπασιν* ὡς κορωνὶς ἡ μυστηριώδης ἱερωσύνη ὑπέρκειται. Ὅς, διὰ τὸ ἔξοχον καὶ ὑπερβάλλον τῆς τοῦ γέροντος χρωματουργικῆς ἱστορίας, τοσαύτην ὑπομονὴν καὶ καρτερίαν τούτῳ ὑπέδειξεν, ὅσον *ἀντὶ ἑνὸς χρόνου καὶ μόνον*, ἑπτὰ ὁλοκλήρους αὐτῷ ἐνεφοίτησε. Προγυμνασμένος γὰρ ὢν (76) καὶ οὐ μικρὸν παιδιόθεν ταύτῃ ἐξησκημένος τυγχάνων, συνέθετο μετ' αὐτοῦ ἕνα καὶ μόνον ὁλόκληρον χρόνον τούτῳ προστρίψαι, *πρὸς μείζονα τελειότητα* καὶ καλλωπισμὸν τῆς προμελετημένης αὐτῷ τέχνης. Ὅθεν καὶ τοῦ Ὄρους ἐξελθεῖν τοῦ γέροντος βουλομένου καὶ πρὸς τὴν ἰδίαν αὐτοῦ παραγενέσθαι ἐπισπεύδοντος ἐνεγκαμένην, διὰ τὸ πρὸ πολλοῦ *αὐτὸν τοῖς συμπατριώταις* παρακληθῆναι χάριν ἱστορίας τοῦ ἐν αὐτῇ τοῦ Σωτῆρος ἡμῶν τοῦ ἐν τῷ Θαβωρίῳ ὄρει μεταμορφωθέντος περικαλλεστάτου ναοῦ, οὐκ ἐδίστασε τὸ τραχὺ τῆς ὁδοῦ καὶ ἐπίμηκες, ὡς *λίαν φιλομαθὴς* καὶ φιλόπονος μαθητὴς τῷ διδασκάλῳ ἑπόμενος. Ὁ δὲ Πέτρος καὶ ὁ τούτῳ συνώνυμος καὶ ἀνε-

ψιὸς σὺν τῷ Ἀγαπίῳ, τῆς αὐτῆς τῷ γέροντι ὄντες πατρίδος, ὁ μὲν Πέτρος φύσεως λαχὼν δεξιᾶς, τοσοῦτον παρ' αὐτοῖς εὐφυΐᾳ, ἀγχινοίᾳ, μνήμῃ ἐπιτηδειότητι καὶ εἴτινι ἄλλῃ ἀρετῇ, ᾗ περ ἡ ἀνθρωπίνη ἐναβρύνεται φύσις, κατακεκόσμηται, ὅσον οὐδείς ποτε τῇ ἐπ' ἀρετῇ, φιλοπονίᾳ τε καὶ ἀσκήσει καὶ ἄκρᾳ κακουχίᾳ ἐστόλιστο. Ὅθεν ἐν ὀλίγῳ παρὰ πᾶσι δι' εὐφήμου γλώττης ἤγετο, οὐχ ἧττον ἐπὶ τῇ τῆς ζωγραφικῆς τέχνης τελειότητι καὶ μαθήσει, ἢ γράμμασι καὶ μουσικοῖς, ἀφ' ὧν μᾶλλον αὐτῷ ὁ ἔπαινος, ἢ τῇ τῆς μοναδικῆς πολιτείας καὶ ἱεροδιακονικῆς τάξεως *ἀξιότητι*, πρὸς τούτοις δὲ εἶχε καὶ τὸ μεγαλοπρεπὲς καὶ καλόφωνον, ἅπερ πάνυ ὀλίγοις ἡ φύσις συλλήβδην χαρίζεται, πράγματα ὄντως παρὰ πᾶσιν ἐπαινετὰ καὶ ἐράσμια. Ὁ δὲ Ἀγάπιος μᾶλλον ὑπομονῇ καὶ πραότητι ὡραΐζετο *καὶ τῇ ἄκρᾳ πρὸς τὸν γέροντα ὑπακοῇ* καὶ ταπεινότητι καὶ πάσῃ ἄλλῃ ἠθικῇ τε καὶ πρακτικῇ ἀρετῇ τῇ τῶν ἀγάμων πολιτείᾳ καὶ διαίτῃ πάνυ χρησίμως προσηκούσῃ. Ὁ δὲ Πέτρος, ὁ τοῦ εἰρημένου Πέτρου ἀνεψιός, ὡς ἔτι ἐν τῇ τῶν ἐφήβων ἡλικίᾳ *διατελῶν, πόθον πολὺν καὶ* ἀγάπην ἀνείκαστον πρὸς κατόρθωσιν ἀρετῆς καὶ ἀσκήσεως εἶχεν, ἣν πάνυ καλῶς ὁ τῶν ψυχικῶν αὐτοῦ παθημάτων ἰατρὸς καὶ πνευματικὸς πατὴρ εἶδεν, ὡς πολλάκις μοι ἔφη. Τούτους γοῦν οὐ τοσοῦτον *αἱ ἀρχαὶ καὶ τὰ πρῶτα αὐτῶν* κατορθώματα ἐπήνεσαν, ὅσον αὐτοὺς ἐθαυμάστωσαν ἡ τελευταία αὐτῶν μετάνοια καὶ ἐξομολόγησις.

Ὁ μὲν γὰρ πρῶτος ἱεροδιάκονος Πέτρος, οὐ μόνον *αὐτῶν τῶν μεγάλων δωρεῶν, ἐξομολογήσεως* δηλαδὴ καὶ τῶν φρικτοτάτων τοῦ Χριστοῦ Μυστηρίων κοινωνίας ἠξιώθη, ἀλλ' ἔτι τὰ λοίσθια πνέων ἐν αὐταῖς ταῖς ἐσχάταις ἀναπνοαῖς, οὐκ ἔληγε προσευχόμενος, τὴν ἄχραντον (77) τῆς Παρθενομήτορος *εἰκόνα κατακόρως ἀσπαζόμενος, χύνων* κρουνηδὸν δάκρυα μετανοίας, λέγων συνεχῶς καὶ τὴν ψυχοσωτήριον εὐχὴν τὴν «Κύριε Ἰησοῦ Χριστὲ υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με», ὥστε μετὰ ταῦτα καί τινος πνευματικῆς εὐωδίας, ὡσεὶ κέδρου ὀσμῆς ᾔσθετο *καὶ τὰς τοῦ Παραδείσου* πύλας ἀνοιγμένας δέξασθαι αὐτὸν εἰσελθόντα ἑώρα, ὡς ἐκ τοῦ στόματος αὐτοῦ τελείως κατόχου γεγονότος δῆλα καθίστατο, λέγοντος ἔτι καὶ τὸν Ἀγάπιον, τὸν πρὸ αὐτοῦ τελευτήσαντα πνευματικὸν ἀδελφὸν ἐλθεῖν καὶ ἅμα ἀμφοτέρους παρευθῆναι, ἅπερ ἀναμφισβήτητα σωτηρίας τεκμήρια. Ὁ δ' Ἀγάπιος οὗτος, ἧς εὐωδίας ἔτι παριὼν ὁ διάκονος καὶ τὰ λοίσθια πνέων ᾔσθετο, ταύτην ἐμπράκτως διὰ τῶν λειψάνων αὐτοῦ ἐπὶ τρισὶ καὶ δέκα μη-

σί τοῦ μνήματος ἀνακομισθέντων ἔδειξεν. Ὁ δὲ μετ' αὐτοὺς ἱεροδιάκονος Πέτρος, εἰ καὶ ἐν θαλάσσῃ καὶ ταραχαῖς ἀνέμων καὶ ὁδοῖς καὶ ῥαγδαίοις ὑετοῖς διὰ τῆς πανωλέθρου καὶ φοβερᾶς *νόσου τοῦ λοιμοῦ ἀπέθνησκε*, μετὰ τοῦ γέροντος ἐκ τῆς Κωνσταντινουπόλεως ἐρχόμενος, χάριν Σταυροπηγιακῆς ἀξίας τοῦ μονυδρίου ἐν ταύτῃ ἀφικομένου, οὐ μέντοιγε καὶ οὗτος τῶν ὁμοίων τοῖς ἄλλοις ἀγαθῶν ὑστερήθη. Οὕτω τοίνυν οἱ πνευματικοὶ τοῦ γέροντος παῖδες τὸ *ἐνταῦθα* ζῆν καλῶς καὶ θεοφιλῶς ἐν μετανοίᾳ ἐκμετρήσαντες τοῦ ἐν τῷ μέλλοντι ἤρξαντο, βλαστοὶ καὶ καρποὶ πάντες ὄντες τούτου πνευματικοί, πνευματικῶς ἐκβλαστήσαντες. Ὥσπερ γὰρ τὸ δένδρον *ἐκ τοῦ καρποῦ* οὕτω καὶ ὁ καρπὸς ἐκ τοῦ δένδρου γινώσκεται. Ἐκ τοῦ καρποῦ *γὰρ φασὶ* τὸ δένδρον γινώσκεται. Ἐπὶ πᾶσι τοίνυν τούτοις τοῖς χρηστοῖς, ὁ Γέρων, ἀρετῆς φημὶ καὶ μαθηταῖς εὐδοκίμοις, οὐδὲ φιλοπονίας ἄκρας ἠπόρει, ὅστις οὐ μόνον διὰ τὸ ἔντεχνον καὶ *εὐμήχανον καὶ τακτικὸν* τῆς γραφικῆς τῶν σεβασμίων εἰκόνων ποικιλότητος, ἄγαν ἠγωνίζετο ὥστε καὶ ὅρους καὶ κανόνας καὶ ἑρμηνείας οὐκ ὀλίγας τῆς τέχνης μετὰ πολλῶν ἀγώνων καὶ πόνων ἐκθέσθαι, ἀλλ' ἔτι καὶ ἐκ βάθρων καὶ θεμελίων πάντα τὸν βίον αὐτοῦ οὐ παύεται *οἰκοδομεῖν καὶ* ἀνεγείρειν. Μετὰ γὰρ τὴν ἐκ βάθρων οἰκοδομὴν τοῦ ἐν τῷ Ἁγίῳ Ὄρει Κελλίου καὶ τῆς Ἐκκλησίας αὐτοῦ, σεσαθρωμένων πρὸ πολλοῦ ὄντων, ἐν ᾗ μάχη καὶ ἔρις οὐκ ὀλίγη τούτῳ μετά τινος μοναχοῦ Τιμοθέου, γείτονος αὐτοῦ καὶ τῆς πρώτης συνάξεως *βουλευτοῦ, ἐπισυμβέβηκε* διά τινα κλάδον ἐλαίας, ἔμποδον τῆς τοῦ Κελλίου κατασκευῆς ὕπερθεν γεγονότα καὶ ὡς τὰ μάλιστα βλάπτοντα, μηδόλως τοῦ εἰρημένου μοναχοῦ πρὸς ἐκκοπὴν τοῦ κλώνου *ἀποκλίνατος*, καίτοι κατὰ (78) πάντα τρόπον δικαίου πρὸς τὴν οἰκοδομὴν *ἔδει ἀποτμηθῆναι*, ἀδείᾳ καὶ συγγνώμῃ Πατριαρχικῇ τε καὶ συνοδικῇ μετὰ τῆς αὐτοῦ συνοδείας ἐξερχόμενος τοῦ Ὄρους καὶ δι' ἀνάπαυλαν τῆς μάχης καὶ διά τινα τοῦ κοινοῦ ὠφέλειαν, ἔρχεται *εἰς τὴν ἰδίαν πατρίδα*.

Ἐν ταύτῃ γοῦν παραγενόμενος, μηδόλως τοῦ πρὸς *ἀρετὴν προτέρου* τόνου ἐκλέλυτο, ἀλλ' ἔτι πλέον βάρος ἐπὶ βάρει καὶ πόνον ἐπὶ πόνοις προσθείς, ἑτέραν οἰκοδομὴν μέσον τῆς χώρας ἐπεχειρίσθη, ἀδείᾳ καὶ συναινέσει τῶν αὐτοῦ ἐγχωρίων, οἱονεί τινα *Παρθενῶνα* διὰ μοναζούσας γυναῖκας, τὰς τῷ κόσμῳ καὶ τοῖς τούτου τερπνοῖς ἀποτάξασθαι βουλομένας. Ταύτης δὲ πέρας λαβούσης καὶ εἰς καλὴν καὶ ἐνάρετον ἀποκατάστασιν ἐλθούσης, οὐκ

ἐπαύσατο κοπιῶν καὶ ἀγωνιζόμενος, νύκτωρ τε καὶ ἡμέρᾳ, ἀνεγεῖραι ἔτι *ἐκ βάθρων καὶ θεμελίων καὶ συστῆσαι* ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τῇ ἑαυτοῦ πατρίδι, ἱερόν τι καὶ θεῖον καὶ πρὸς ἀσκητικὴν καὶ ἐνάρετον διαγωγήν, ἅμα δὲ καὶ διδασκαλίαν ἱερῶν γραμμάτων ἐπιτήδειον καταγώγιον. Ἀρξαμένου τοίνυν τοῦ ἔργου ἐν τόπῳ ἀνεπιτηδείῳ μέν, ἔχοντι δὲ ὕδωρ ἱκανὸν πρὸς ἀναγκαίαν χρείαν, ἀενάως ἀναβλύζον, οὐκ εἰς τὰ πρόσω δὲ διὰ τὴν δυσχέρειαν τοῦ τόπου καὶ τὴν ἐπικράτειαν τῶν ἑτεροδόξως κρατούντων χωροῦντος, Θεοῦ δέ μόνον συναντιλαμβανομένου, οὐκ ἔπαυσε κοπιῶν καθ' ἑκάστην καὶ σκαπανεύων ὁ Γέρων κατὰ μόνας, τὴν δύναμιν μόνον τοῦ Θεοῦ εἰς νοῦν ἔχων καὶ λογιζόμενος ὅτι, τὰ ἀδύνατα τοῖς ἀνθρώποις δυνατὰ ἐστὶ τῷ Θεῷ. Ὅθεν μετ' οὐ πολύ, μιᾷγε τῶν *νυκτῶν ζοφώδει τε καὶ ἀσελήνῳ, βλέπων ἐκεῖσε φῶς ὥραν* ἱκανὴν παραδόξως φρυκτωροῦν, μᾶλλον ἐκ τούτου πρὸς τὸν αὐτοῦ ἐνεδυναμοῦτο σκοπόν, νομίζων ὅτι εὐάρεστον τῷ Θεῷ καὶ τοῦτο γενέσθαι. Πρὸς τοῦτο δέ τις γυνή, ἔχουσα ὕπερθεν τούτου τόπον πρὸς φυτείαν ἀμπέλου ἐπιτήδειον, ἀπαραιτήτως *ὁσημέραι μὴ ἐπὶ πλέον αὐτὸν ἐπεκτείνεσθαι* σκαπανεύοντα προσέκοπτε. Μετ' οὐ πολλὰς δὲ ἡμέρας, εἰς δεινὴν νόσον ὁ υἱὸς αὐτῆς περιπεσὼν καὶ ὑπ' οὐδενὸς τῶν πολλῶν φαρμάκων βοηθηθείς... ἀπελπίσθη, τέλος πάντων ἡ μήτηρ αὐτοῦ μετὰ θερμῶν δακρύων κλαίουσα προσεκάλει αὐτὸν εἴ τι δύναται βοηθῆσαι τῷ πάσχοντι, ὅστις δυσωπηθείς, οὐχ ἧττον δεήσεις ἢ ἰατρείας ποιήσας, τῆς δεινῆς καὶ βαρυτάτης νόσου αὐτὸν ἀπηλλάξατο. Ἔκτοτε *γοῦν οὐ μόνον οὐκ ἐκώλυεν* αὐτὸν ἡ γυνή, ἀλλὰ καὶ μεγάλως σὺν τῷ ἰαθέντι αὐτῆς υἱῷ ἐβοήθει, χορηγοῦσα καὶ τόπον αὐτῷ ὅπου ᾐτεῖτο. Ἐκ τούτων τοίνυν ἁπάντων (79) βεβαιωθεὶς καὶ ἀπρὶξ τοῦ θεαρέστου ἁπτόμενος σκοποῦ, οὐκ ἀφόβως τὸν τόπον καὶ τὸ ὕδωρ πρὸς κατασκευὴν *τοῦ μονυδρίου ἡτοίμαζε, διὰ τὸ μὴ τῶν παρὰ τῶν ἑτεροδόξως* κρατούντων εὐδόκιμον (ἐνδόσιμον) ἔχειν, ὅπερ διὰ τὸ ἀζήμιον ἄγαν ἐπάναγκες. Μετ' οὐ πολὺ δὲ πρὸς τὸν ὁσιώτατον ἐν ἱερομονάχοις κύριον Στέφανον, φίλον ἄκρον καὶ ἐν Χριστῷ ἀδελφὸν ὄντα τὸν καὶ καθηγούμενον τῆς ἐν ἐπισκοπῇ Φαναρίου ἐν χώρᾳ Βουνέσι κειμένης μονῆς, ἐγένετο παραγενέσθαι, κἀκεῖ τοῦ δημογέροντος κυρίου Δημητρίου τοῦ ἐκ Πετρίλου τετυχηκέναι, ἀξίου ὄντος ὡς τὰ μάλιστα διὰ τοιαύτην ὑπόθεσιν, ῥαδίως καὶ τούτου δι' αὐτοῦ οὐκ ἀπέτυχε, χαίρων καὶ ἀγαλλόμενος ἐπιστρέφων. Προσέτι δὲ μετὰ ταῦτα οὐκ ὀλίγον ὑπὸ τῶν ἐν Ῥενδίνῃ Κωνσταντίδων, κυρίου Δοσιθέου οἰκονόμου τε καὶ ἡγου·

μένου καὶ τῶν αὐτοῦ ἀδελφῶν προβιβασθείς, ὑπὲρ ὧν ἀπάντων εὐχὰς οὐκ ὀλίγας τῷ Θεῷ ἀνέπεμπεν, ἐλευθέρως καὶ ἀπροσκόπτως τὴν οἰκοδομὴν ἐπετέλει. Ταύτης τοίνυν οὔπω ἀπαρτισθείσης, εἰς Βασιλεύουσαν διέβη, βουλόμενος διὰ Σταυροπηγιακῆς ἀξίας τοῦτο κατοχυρώσασθαι. Διερχόμενος δὲ τὸ Ἁγιώνυμον Ὄρος, Θεοῦ συναντιλαμβανομένου, οὐδὲ ἐκεῖσε ἀβοήθητος ἔμεινεν. Ὁ γὰρ Πανιερώτατος Ναυπάκτου καὶ Ἄρτης, εὐλαβείᾳ φερόμενος τῇ πρὸς τὴν Χαριτόβρυτον Πηγήν, ἧς ἡ οἰκοδομή, ἔσπευδε διὰ σεβασμίου αὐτοῦ γράμματος πρὸς τὸν παναγιώτατον καὶ Οἰκουμενικὸν Πατριάρχην αὐτῷ συνοδεῦσαι, δηλοποιοῦντος τὴν αἰτίαν τῆς ἐπιδημίας αὐτοῦ καὶ συνιστῶντος αὐτὸν τούτῳ τε καὶ τῇ ἁγίᾳ καὶ Ἱερᾷ Συνόδῳ πρὸς ἀπαρτισμὸν εὐχερῆ τοῦ σκοποῦ.

Ὅθεν καὶ Σταυροπηγιακῇ ἀξίᾳ τε καὶ ἐλευθερίᾳ καὶ παντελεῖ ἀσυδοσίᾳ, συνοδικῶς διὰ βεβαιωτικοῦ Σιγιλλιώδους Γράμματος τετίμηκε, συνεργούντων καὶ τῶν ὑψηλοτάτων αὐθεντῶν τοῦ τε κυρίου Ἀλεξάνδρου Γκίκα καὶ τοῦ κυρίου Γρηγορίου Καλλιμάχη. Τὰ δὲ μεταξὺ τοῦ γίνεσθαι καὶ γεγενῆσθαι τὴν οἰκοδομὴν καὶ τὴν ἀπὸ πατρίδος εἰς Βασιλεύουσαν ἐπιδημίαν ἐπακολουθήσαντα δεινὰ τῷ ἁγίῳ Γέροντι, πόνους δηλ. ἀνυποίστους, θλίψεις, καταδρομάς, ζημίας παρὰ τῶν ἐπιβλαβῶς κατ' αὐτοῦ φερομένων καὶ λέγειν χαλεπὸν καὶ γράφειν λίαν ἐπίπονον, ἅτινα ἡ χαριτόβρυτος καὶ παντάνασσα Κόρη, ὡς ἱστὸν ἀράχνης διεσκέδασεν, ὥστε μηδὲν τούτων μήτε εἰς τὴν κατασκευήν, μήτε εἰς τὴν Σταυροπηγιακὴν φιλοτιμίαν κώλυμα γεγονέναι, εἰ καὶ εἰς περιόδους χρόνων οὐκ ὀλίγων ἐτετέλεστο. Ἀλλ' ὅμως μετὰ τοσούτους καὶ τηλικούτους, ἐπέκεινα τῶν δέκα ἐτῶν, ἐκτεταμένους πόνους καὶ τοσαύτας αὐτῷ ἐπισυμβάσας ἐναντιότητας, (80) διὰ τὸ ὑπερβάλλον τῆς ἐγχειρήσεως καὶ τὸ [δυσάφικτον] τῶν ἑτεροδόξως κρατούντων, οὐδὲ Πατριαρχικῆς καθιερώσεως ἀπέτυχε, ἔτι δὲ καὶ τελείου ἐγκαινισμοῦ διὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Λητζᾶ καὶ Ἀγράφων κυρίου Κωνσταντίου τελεταρχικῶς ἀποτελεσθέντος. Ὅστις κατ' ἔτος λαμπρῶς καὶ θεοφιλῶς, δι' ὁλονυκτίου προσευχῆς, οὐκ ἀκινήτως ἔν τινι διωρισμένῳ μηνί, ἀλλὰ κινητῶς ὡς ὁ παγκόσμιος, διὰ τῆς κοσμοσωτηρίου καὶ λαμπροφόρου Ἀναστάσεως τοῦ ἐκ νεκρῶν ἀναστάντος Χριστοῦ ἐγκαινισμός, παγκοσμίως ὑπὸ πάντων τῶν εὐσεβῶν ἑορτάζεται. Εἰ γὰρ παλαιὸς νόμος τὰ ἐγκαίνια τιμᾶσθαι, πολλῷ δεῖ μᾶλλον τὰ νέα τιμᾶσθαι δι' ἐγκαινίων. Εἴ τις γὰρ ἐν Χριστῷ καινὴ κτίσις τὰ ἀρχαῖα

παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά. Ἐγκαινιζώμεθα ἀδελφοὶ καὶ τὸν παλαιὸν ἀποθέμενοι ἄνθρωπον ἐν καινότητι ζωῆς πολιτευώμεθα, πᾶσι χαλινὸν ἐπιθέντες ἐξ ὧν ὁ θάνατος, πάντα τὰ μέλη παιδαγωγήσωμεν. Τοῦτο γὰρ ὁ σκοπὸς καὶ τὸ τέλος μετὰ πολλῶν πόνων, ἱδρώτων, κινδύνων καὶ θλίψεων τοῦ Γέροντος, ἐν γῇ τε καὶ θαλάσσῃ, πάντα καινὰ κατασκευάσαντος, ὅπως δοξάζηται ὁ Παλαιᾶς καὶ Καινῆς χορηγὸς καὶ ἡ ὑπερένδοξος αὐτοῦ Μήτηρ, ἡ Ζωοδόχος Πηγή, ἧς ταῖς πρεσβείαις καὶ τοῦ δούλου αὐτῆς καὶ ἐμοῦ Γέροντος, ἀξιωθείημεν ἅπαντες, τὸν παλαιὸν ἀποθέμενοι ἄνθρωπον, ἐν καινότητι ζωῆς πολιτεύεσθαι, μεθ' ὧν δὲ τῶν αἰωνίων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ, τῷ τοὺς γηγενεῖς νεοποιοῦντι καὶ καινουργοῦντι ἀπολαῦσαι. Ὧ ἡ δόξα καὶ ἡ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΝΘΑΔΕ ΣΗΜΕΙΟΥΜΕΝ ΤΑ ΕΥΡΕΘΕΝΤΑ ΑΓΙΑ ΛΕΙΨΑΝΑ ΕΝ ΤΩΔΕ ΙΕΡΩ ΜΟΝΥΔΡΙΩ ΤΗΣ ΖΩΟΔΟΧΟΥ ΠΗΓΗΣ ΤΩ ΚΕΙΜΕΝΩ ΚΑΤΑ ΤΗΝ ΚΩΜΗΝ ΦΟΥΡΝΑ ΤΩΝ ΑΓΡΑΦΩΝ

